Κοινῶς καθὼς πάντες οἱ ἄνθρωποι, ὅπως ὑγιεινὴ εἶναι δυνηθῇ· γυμνάζεσθαι τοίνυν τὸ σῶμα (a) ἀναγκαῖον, καὶ τροφὴν ἱκανῶς λαμβάνειν (b), καὶ ἀεὶ τὴν μέθην καὶ τὴν ἀπεψίαν ἀποτρέπειν· καὶ πάσας μὲν τὰς διακινήσεις ἰδικῶς (c) τυχὼν τὰ ἀνώτερα μέρη, καὶ τὰς χεῖρας ὅτι μάλιστα γυμνάζειν, ὅπως πλέον τὸ γάλα καὶ πεπεμμένον τοῖς μασθοῖς ἐπιῤῥεύσῃ· καὶ εἰ γενέσθαι δυνατόν ἐστιν, εἰς τὸν ἴδιον ἄνδρα καθόλου μὴ προσπελάσῃ, μήπως τῇ ἀφροδισίῳ χρήσει τὴν κάθαρσιν ἀναμνησθῇ, ἧς ἐπερχομένης τὸ γάλα ἐξαφανίζεται, καὶ ἀποσβέννυται· ταῖς δὲ πρώταις ἡμέραις, αἷς θηλάζειν ἄρχεται (d), ἁπαλὰς τροφὰς λαμβανέτω, καὶ ὕδωρ πινέτω, μὴ στερεὸν τὸ γάλα τῷ ἀρτιγενεῖ νηπίῳ σὺν δυσχερείᾳ διὰ τοῦ στενοῦ λάρυγγος κατέλθῃ· καὶ καθάπερ τὸ βρέφος παρερχομένων τῶν ἡμερῶν καὶ μηνῶν στερεοῦται, οὕτως καὶ στερεὰς τροφὰς λαμβάνειν ἄρξεται· αὕτη κόνδιτον πρῶτον πινέτω, καὶ τότε τοίνυν οἶνον προσμίξει, ὅτι πρῶτον ἤδη τὸ νήπιον ἄνευ βλάβης τούτων τὴν πέψιν ὑποφέρει.

ΚΕΦΑ'Λ. ΟΗ'.

Πῶς λέγεις ἐν τῇ ἀρχῇ τὸ νήπιον καχεκτεῖν;

Δηλαδὴ ἐὰν ἡ (a) τροφὸς αὐτȣ͂ οἶνον πολὺν πίνῃ ἡνίκα (b) ὅλȣς τȣ̀ς μῆνας τὴν ἰδίαν μητέρα πίνȣσαν ἐκ ἢ (c) κάλων λήψεθειν· καὶ γὰρ ἡνίκα ἐν τῇ γαστρὶ ἔμιμνε, πρὸς τὴν προσφερομένην πέψιν ἡ μήτρα αὐτȣ͂ τὰς ὑπηρεσίας ἐκοπίᾳ, καὶ ἄτως αὐτὸ πεπεμμένον τὸ γαλακτῶδες εἰσέβαλλε· νυνὶ δὲ ἐκ τῆς ἰδίας ȣ̓σίας κεχώρισαι τὸ νήπιον, μὴ ἰχῦον πρὸς τὰς προσφορὰς δυχερεςάτως πεπτομένας· καθάπερ γὰρ καὶ τὸ μῆλον (d) ἕως ȣ͂ ἐν τῇ μήτρᾳ τȣ͂ δένδρȣ εἶναι δυνηθῇ, τὰς συμβαινȣ́σας ὑφίςαται ζάλας, ἡνίκα δὲ κεχωρισμένον εἴη ἀπὸ τȣ͂ δένδρȣ, καὶ ἀπὸ τῆς ἰδίας ȣ̓σίας μόνον εἴη τεθειμένον, πρόδηλον ὅτι ὀλίγȣ ἀνέμȣ πνέοντος ἐνοχλεῖται καὶ καχεκτεῖ.

ΚΕΦΑ'Λ. ΟΘ'.

Ποῖα εἰσὶ τὰ γυμνάσια τὰ γενέσθαι δυνάμενα τῷ παιδίῳ;

Ἢ (a) ἐν τῷ ὅλμῳ (b) τέρψις γενέσθω, ἢ σὺν ἄλλοις τὴν χεῖρα βάλλοι (c)· ἀλειφὴν καὶ

 ἄλευ-

ἄλευρον ποιεῖν (d) δεῖ, καὶ κλίνην ςρῶσαι, καὶ ὕδωρ βαςάσαι.

ΚΕΦΑ΄Λ. Π΄.

Τὶ ποιητέον εἰ τῆς τροφȣ̃ τὸ γάλα εἴη ὀλέθριον;

Ἑτέρας τροφȣ̃ γάλα λαμβανέτω, ἢ ἐὰν ȣ̉κ εἴη ἄλλη αὐτῆς τῆς θηλαζȣ́σης τῇ ἁρμονίᾳ (α) συνδεδέσθω.

ΚΕΦΑ΄Λ. ΠΑ΄.

Τίδε ποιήσȣσιν ἐκεῖναι, αἷς τὸ γάλα ἐξαφανίζεται;

Λείπει.

ΚΕΦΑ΄Λ. ΠΒ΄.

Τίνα παρέχȣσιν ἀρχαῖοι ἵνα τὸ γάλα πλεονάσῃ ταῖς τρεφȣ́σαις;

Κελεύȣσι τὸς μασθὸς πάντων τῶν ζώων ἐσθίειν, τῶν (a) τηριδόνων (b) τῶν νῦν κεκαυμένων, ἢ (c) τῶν νυκτερίδων τὴν (d) φέρȣσαν σὺν ὕδατι πίνειν διδόασιν, ἢ σὺν ὕδατι λελυμένη τὸς μασθὸς αὐτῶν ἐπιχρίȣσιν· ἅπερ ἡμεῖς πάντα ἀποδοκιμά-

μάζομεν· εἰ μέντοι τῇ (e) ἀκεραιότητι ταύτῃ ἐξαφανίζεται, ὁ ϛόμαχος (f) τὰς τροφὰς διαφθείρειν ἄρχεται, ἔπειτα ἔλαττον (g) τρέφοντα τὸ σῶμα, πολὺ ἧττον τὸ γάλα ποιᾶσι.

ΚΕΦΑ'Λ. ΠΓ'.

Τὶ ποιητέον ἐκείναις, αἳ ὑπὲρ τὸ καθῆκον τὸ γάλα, ἢ πυκνὸν αὐτὸ ἔχᾶσιν;

Ἰσχυροτάτοις γυμνασίοις καὶ (a) καμάτοις χρῆσθαι ὀφείλᾶσιν, ἵνα τὴν πλεονεξίαν ȣ̓ γάλακτος μειώσωσιν. Εἰ δὲ πυκνόν ἐϛι σφόδρα, τροφὰς λαμβανέτωσαν αἵτινες ὀλίγον τρέφειν δύνανται, ὅτως ὅπως ξηραὶ μὴ ὦσιν· ὕδωρ τοίνυν πινέτωσαν, καὶ καθ' ἡμέραν τῷ βαλανείῳ χρήσθωσαν.

ΚΕΦΑ'Λ. ΠΔ'.

Δἰ ἣν αἰτίαν τὰς δριμείας καὶ ἅλυκας τροφὰς τὴν τροφὸν λαβεῖν ἐκ ἐᾶν δεῖ;

Λείπει.

ΚΕΦΑ'Λ. ΠΕ'.

Πῶς τοίνυν διαιτητέα ἐϛιν ἥτις τὸ γάλα ἐφθαρμένον ἔχει;

Καλᾶ χυλᾶ (καὶ εὐπέπτᾶ) τροφὰς λαμβανέτω· ἀλλὰ μὴν καὶ τὰ ὑποχόνδρια (a) ἐπισκε-

ψάτω, μὴ (b) ἴσως ἐ πέττωσιν· ἢ (c) τῷ ἀνδρὶ χρήσθωσαν, καὶ πόματα τινὰ λαμβανέτωσαν, δι᾽ ἃ ἐπανορθωτέαι ὦσιν, ὅπως τοίνυν καὶ τὸ γάλα καλὸν εἶναι ἄρξηται.

ΚΕΦΑ´Λ. Πϛ´.

Πῶς ἀνορθῶμεν τὰς τὸ γάλα ὑδαρὲν ἐχέσας;

(α) Α᾽ραιῶς μὲν λεσάσθωσαν, καὶ οἶνον πινέτωσαν· συνεχῶς τροφὴν λαμβανέτωσαν, ἀλλὰ μὴν καὶ πολὺ ςερεὰν, καὶ τρέφεσαν, καθάπερ εἰσὶ τὰ σκληρὰ προσφάγια· ὠχ τοίνυν ἐκζεςὰ, ἢ τηγανιςὰ, (καὶ κρέα) χοίρεια, καὶ αἰγεῖα χρήσθωσαν.

ΚΕΦΑ´Λ. ΠΖ´.

Ποσάκις τὸ νήπιον ἐν ἡμέρᾳ λετέον;

Α῞παξ μὲν λετέον· καὶ εἰ ἀνάγκη τὶς (a) συμβῇ, καὶ δὶς ἐν τῇ ἡμέρᾳ λετέον· τὸ γὰρ συνεχὲς βαλανεῖον τάκερον τὸ σῶμα ἀποτελεῖ.

ΚΕΦΑ'Λ. ΠΗ'.

Ε'ν ποίῳ τόπῳ λȣτέον τὸ νήπιον;

Ε'ν σκοτεινῷ, καὶ εὐκρατῶς θερμῷ λȣτέον τὸ νήπιον, καὶ ȣ̓κ ἐν ψυχρῷ, ἢ ἱκανῶς θερμῷ.

ΚΕΦΑ'Λ. ΠΘ'.

Πῶς (a) φασκιωτέον τὸ νήπιον μετὰ τὸ βαλανεῖον;

Καθίζειν ὀφείλει ἡ μαῖα, καὶ τῶν γονάτων ἐζευγμένων ἐν τοῖς ἰδίοις μηροῖς βεβλημένῳ ῥάκει τὸ νήπιον λαμβάνειν· καὶ ἀφαιρηθειςῶν τῶν φασκίων, ἐλαίῳ χλιαρῷ ἀλείφειν· ϗ ἐν λεκάνῃ μεγάλῃ ὕδωρ θερμὸν καὶ (b) διαυγὲς καὶ ἄνευ ὀδμῆς βληθὲν συγκεράσαι· κἀκεῖθεν τῇ ἰδίᾳ ἀριςερᾷ χειρὶ ὑπὸ τὴν δεξιὰν μασχάλην τὸ νήπιον κρατεῖν ȣ̔́τως, ἵνα ὁ θώραξ αὐτȣ̃ ἐπὶ τὸν ἄγκωνα αὐτῆς κέηται, ἔπειτα ἐν τῷ ὕδατι (c) καθιῶσαν ὁμαλῶς πυριάζειν πρῶτον (d) τὸν νῶτον· ἔπειτα ὕπτιον ἀνεςραμμένον, καὶ ταῦτα μέρη καταντλεῖν, ἵνα τȣ̀ς πάντας ῥύπȣς τȣ̀ς ἐν τῷ τραχήλῳ ὄντας, και τῇ μασχάλῃ ἐπιμελῶς ἀπομαχθῶσι, καὶ τȣ̃ δακτύλȣ ἐμβληθέντος ἐν τῷ ςόματι τȣ̃ νηπίȣ, τȣ̀ς σιέλȣς αὐτȣ̃ ἀπομάττειν, καὶ λείως τὴν γλῶτταν, καὶ τὰ ȣ̃̓λα ἀνατρίβειν,

ἔπει-

ἔπειτα πραείᾳ τῇ χειρὶ ἐπὶ τὸν κτένα ἀποθλίβειν (e) ὅπως ἀναμνηθῇ τὴν ὑπηρεσίαν· ἀλλ' ἡνίκα ἴδη τὸ σῶμα αὐτȣ εἰς ὅσον τὶ θερμανθὲν ἱκανῶς ἀπολȣσαι, καὶ ἀνακȣφῆσαι, καὶ ἐν χλιαρῷ ὕδατι πάλιν αὐτὸ καθιέναι, ὅπως τὴν χρῆσιν τȣ ψυχρȣ ἐθίζειν τὸ νήπιον συνηθείῃ.

Κ Ε Φ Α΄ Λ. ϛ΄.

Δἰ ἣν αἰτίαν μετὰ τὸ βαλανεῖον (a) τȣ νηπίȣ, τῶν πελμάτων ἀνορθȣμένων (b) ἡ κεφαλὴ κάτω (c) κρέμαται;

(d) Διὰ τȣτο, ἵνα αὐτῷ (e) τῷ βάθει αἱ (f) πᾶσαι ζεύξεις ἐκτανθῶσιν· τῆς (g) ῥάχεος τοίνυν τόπον δῆλον (h) ἀναληφθείσης, εὐρυχωρίᾳ εὐχερεστάτῃ (i) περιπλέκονται (k)· ὡς μήτε τοῖς ἰδίοις πράγμασιν ἐμπλέξαι (l) συνηθῆναι.

Κ Ε Φ Α΄ Λ. ϛΑ΄.

Ὁποίως τὰ νήπια ἀλείφειν χρή;

Πρῶτον μὲν εἰς τȣς ὀδόντας (a) τεθειμένȣς, ἔπειτα τοίνυν (b) ὑπτίȣς, τοῖς ἰδίοις μηροῖς (c) πρῶτον ὑποτεθέντος (d) ῥάκῃ ȣτως ἐνίοτε (e) ὅσις ἐπαλεῖψαι ὅλον, καὶ ἐκτεῖναι, ἀλλὰ μὴν

καὶ

καὶ (f) κατακάμψαι· ὁμοίως τὲς πόδας, καὶ τὰ ἕκαςα μέρη ἕτω χηματίσαι, ἵνα ἅπερ συγκεκυλλωμένα εἶναι ὀφείλωσιν, ἀποθλίβειν, καὶ τὰ ἰχνὰ (g) δὴ ὄντα συνεπέχειν, τὰ ἐξέχοντα κατενεγκεῖν· τὲς ὀφθαλμὲς τοίνυν, αὐτὲς τοῖς ἰδίοις δακτύλοις ὁμαλῶς ἀνατρίβειν· τὴν δὲ κεφαλὴν αὐτȣ̃ ςρογγυλὴν ποιῆσαι· τὰ δὲ καυκαλοειδῆ τοίνυν τῶν γονάτων ὀςᾶ κινεῖν· ἔπειτα ὅλον τὸ σῶμα συνεκτεῖναι καὶ καθιέναι· καὶ ὅλα τὰ μέρη τῆς ἰδίας ὑπηρεσίας ἀνακαινίζειν.

ΚΕΦΑ'Λ. ϛΒ'.

Δι' ἣν αἰτίαν οἱ ὀφθαλμοὶ τȣ̃ νηπίȣ ἐλαίῳ (α) ἐπαλείφονται.

Διὰ τȣ̃το, ἵνα οἱ χιτῶνες οἱ ςαθεροὶ ὄντες μαλαχθῶσι, καὶ ἀπομαχθῶσιν, ὅπως ὁλόκληρον τὸ ὀπτικὸν ἔχειν δυνηθῶσιν.

ΚΕΦΑ'Λ. ϛΓ'.

Δι' ἣν αἰτίαν κελέυεται τȣ̃ νηπίȣ μετὰ τὸ βαλανεῖον τὰ ὦτα, καὶ ῥίνας ἀναξηραίνειν;

Μὴ (a) τυχὼν ἐναπομείνῃ χυμὸς εἰς τὰ ὦτα αὐτȣ̃ (b) καὶ ἰχνȣ̃ ὄντος ἔτι τȣ̃ νηπίȣ, οἱ πόροι (c) καταψυχρανθῶσι, και καχεκτήσωσιν.

ΚΕΦΑΛ. ϛΔ'

Μεθ' ὁπόσον ἀπὸ τȣ̃ βαλανείȣ πρὸς τὸν μαϑὸν προσπελαςέον τὸ νήπιον;

Μετ' ὀλίγον (a) ὅταν ἡ πᾶσα ταραχὴ τȣ̃ βαλανείȣ παυθήσεται· εἴ τι δὲ πρότερον λάβῃ, διαφθείρεται καὶ ȣ̓ τρέφει· καὶ γὰρ ἡ αὐτὴ τροφὸς ἐὰν ȣ̓ πέψῃ τὸ βαλανεῖον (b), ἀλλ' ȣ̓́τως τὸ γάλα δώσει, καχεκτήσει τὸ νήπιον· ἄμεινον τοίνυν ἐςὶν, εἰ (c) τὸ βαλανεῖον πέψῃ, καὶ ἀναξηρανθέντων πρότερον τῶν μαθῶν ȣ̓́τως τὸ νήπιον πλησιάσει.

ΚΕΦΑΛ. ϛΕ'.

Πῶς (a) τὸν μαϑὸν (b) δȣ̃ναι ὀφείλει.

Ταῖς χερσὶ (c) λαμβανομένȣ τȣ̃ νηπίȣ, εἰς οἱονδηποτȣ̃ν πλάγιον ἐπιτεθῆναι (δεῖ), καὶ πρὸς τȣ̀ς ἑκατέρȣς μαθȣ̀ς ἀναςρέφειν· ἵνα πως τὴν δεξιὰν χεῖρα πρὸς τὴν ἀριςερὰν τὸ νήπιον ἐλευθέραν ἔχῃ, καὶ ἐκ τῶν ἀμφοτέρων μαθῶν λαμβανέτω· ἔπειτα τῷ ςόματι αὐτȣ̃ (d) ἐπιτιθεῖσα (e) τὴν ῥῶγα κρατείτω, καὶ ὡσανεὶ λαθραίως (f) ἀποθλίψοι· μὴ σὺν καμάτῳ τὸ νήπιον (g) ὀφείλῃ ἄρξασθαι.

ΚΕΦΑΛ. ϛϛʹ.

Ἀπὸ τȣ̃ ὕπνȣ τὴν τροφὸν τί ποιεῖν δεῖ;

Περιπατεῖν δεῖ αὐτὴν ὀλίγον (a) καὶ τȣ̀ς μαϛȣ̀ς τοίνυν ἀνατρίβειν, ὅπως τὸ γάλα ὅπερ ὁ ὕπνος ἐπέχε, διαλυθῆ· καὶ ȣ̔́τως τὸ νήπιον πλησιάζειν.

ΚΕΦΑΛ. ϛΖʹ.

Ποσάκις (τῆς ἡμέρας) τὸ νήπιον θηλάσαι ὀφείλει;

Συνεχέϛερον μὲν, ἐπειδὴ ἅπαξ, ὅπερ αὐτῷ ἀρκέτει λαβεῖν ȣ̓ δύναται· κοπία γὰρ συνεχέϛερον θηλάζον, καὶ ἐκ τȣ̃ καλȣ̃ γάλακτος ταχέως ἐμπίπλαται (a)· ὡρισμένος ἐϛὶν ὁ τρόπος ἀλλ' ἡνίκα εἰ δεῖ πάντως θέλει αὐτὸ λαμβάνειν, ȣ̔́τως ἵνα περὶ τȣ̃ βαλανείȣ, εἰς αὐτὸ ἢ τὸ βαλανεῖον ȣ̓́ποτε λάβοι τὸν μαϛόν.

ΚΕΦΑΛ. ϛΗ'.

Τὶ ἂν πάσχουσι τὰ νήπια, εἰ πρὸ τοῦ βαλανείου, ἢ ἐν αὐτῷ τῷ βαλανείῳ, τὸν μαστὸν (a) λάβωσι;

(b) Κακῶς πάσχουσι τὰ νήπια τὰ περὶ τοῦ βαλανείου, ἢ ἐν αὐτῷ τῷ βαλανείῳ τὸν μαστὸν λαμβάνοντα. Δεῖ (c) γὰρ αὐτὰ πολλοῖς καὶ ποικίλοις νοσήμασι κατέχεσθαι.

ΚΕΦΑΛ. ϛΘ'.

Ποίοις σημείοις νοοῦμεν τὸ νήπιον τὴν τροφὴν λαμβάνειν ὀφείλειν.

Τηνικαῦτα μὲν, ἡνίκα τὰ ὑποχόνδρια αὐτοῦ κοῖλα ὦσιν· ἀλλὰ μὴν καὶ τοσοῦτος καιρὸς παρῆλθεν, ὡς καὶ τὴν τροφὴν λαμβάνειν ἠδυνήθη. Τὸ στόμα τοίνυν ἀνεώξει, καὶ τὰ χείλη συνεχῶς κινήσει· καὶ (a) ἡνίκα διακαινὴς τὸ δάκτυλον εἰς τὰ χείλη αὐτὴ πλησιάσουσι, καὶ αὐτὸ θηλάσεις τινὶ κλαυθμυρισμῷ.

ΚΕΦΑΛ. Ρ'.

Πῶς δὲ γνώσομεν, ἐφ' αἷς αἰτίαις κλαυθμυρίζει τὸ νήπιον (ἄλλαις) ἢ διὰ τὰς τροφάς;

Τὴν φασκίαν κυρίως (a) ὑποσκοποῦντες, μὴ ἐσφιγμένη (εἴη)· ἢ μὴ κείμενον (τὸ νήπιον) τὸν πόδα, ἢ τὴν χεῖρα διαστρέψῃ· ἢ ἐκ τινὸς νενυγμένον εἴη· ἢ τῇ περιουσίᾳ τῆς τροφῆς, καὶ τοῦ γάλακτος κλαυθμυρίζει· ὑποσκοπεῖν (b) τοίνυν δεῖ μὴ τοῖς πολλοῖς σκεπάσμασι βεβαρημένον εἴη, ἢ μὴ ὀλίγον αὐτὸ ἐσκέπασαν· ἢ σφοδρῷ ἡλίῳ διακαιόμενον. Εἰ γὰρ ἔκ τινος νενυγμένον εἴη, ἐξαπίνης κλαυθμυρίζειν ἄρξηται. Τὰ σκεπάσματα δὲ τοίνυν πλεῖστα, ἢ ὀλίγα ἐκ τῆς θεωρίας δοκιμάζονται, καὶ τῆς ἀφῆς· ἢ γὰρ ψυχρὸν (τὸ τοῦ νηπίου σῶμα) εἶναι ὀφείλει, ἢ πολὺ θερμόν· εἰ δὲ περιουσίᾳ τῆς τροφῆς θλίβεται, ἢ τοῦ γάλακτος, ὥστε κακεῖστε αὐτὸ ῥίπτει, καὶ πεπλησμένα τὰ περικάρδια ἔχει. Εἰ δὲ ἐκαυματώθη (c) ἐξ αὐτοῦ, σὺν τῷ ἄσθματι ἐρυθαίνει. Εἰ δὲ συντείνει, ἀνωμαλία ἐστὶ, καὶ γάλα λαβεῖν οὐ δύνηται, καὶ ἰσχνότερον ἀποτελεσθήσεται· ἐκ τῶν προκειμένων τούτων σημείων πάντα αὐτοῦ φανεροῦνται, καὶ ἰαθῆναι δύναται.

ΚΕΦΑΛ. ΡΑ'.

Τὶ ποιήσομεν εἰ μετὰ τὸ (α) θηλάσαι, συνεχέστερον κλαυθμυρίζει:

Παραδοτέον δεῖ τῇ τροφῷ, ἥτις αὐτὸ τῶν μειζόνων ψόφων (b) ἠχῷ τινὶ καὶ κολακείᾳ πραΰνει, καὶ οὐδέποτε αὐτὸ τινὶ αἰτίᾳ πτοήσει (c)· περὶ γὰρ πάντας τοὺς κλαυθμοὺς αὐτοῦ γάλα αὐτῷ διδόναι ὀφειλόμενον οὐκ ἀεὶ, οὐτ᾽ εὐθέως· ἀλλὰ βραδύτητα ποιεῖν. Εἰ μέντοι περὶ τὴν τροφὸν τούτῳ (d) τῷ κλαυθμυρισμῷ γυμνασθῶσι, καὶ (e) ἐπικλύζουσι (f) καὶ αὐτὴ ἡ ἔφοδος (g) αὐτὸς ὁ πόρος (h) (καὶ τοῦτο τὸ ἐφόδιον) ὁ τὸ γάλα (i) δεχόμενος εὐρυχωρότερος (k) γένεται.

ΚΕΦΑΛ. ΡΒ'.

Ἡνίκα ἀποκοιμηθῇ τὸ νήπιον, ποῦ θετέον ἐστιν;

Ἐν τῷ σπαργάνῳ (a) τροφῷ (b) ἐστρωμμένον, ἢ εἰς τὸν κράββατον, ἀπὸ τοῦ προσώπου ἐσκεπασμένον· ἵνα μήτε τῇ σφοδρότητι τοῦ φωτὸς, μήτε τοῦ ἀέρος βλαβήσηται, ἢ στρέψῃ τοὺς ὀφθαλμοὺς, οἵτινες ἔτι μαλακοί εἰσιν.

ΚΕΦΑΛ. ΡΓ'.

Πότε βαςακτέον τὸ νήπιον;

Πρὸ τῆς τροφῆς ὕτως ὡς ὐδέποτε μετὰ τροφὴν λαμβανομένην (b) συμφαρήσεται ἡμέραι.

ΚΕΦΑΛ. ΡΔ'.

Πῶς, καὶ δἰ ἣν αἰτίαν βαςακτέον τὸ νήπιον;

Η κῦνα κρεμαςὴ εἴη ὕτως, ὡς ὁπηλέον κύφως κινεῖν ἄρξηται (a)· ἢ δῆλον (b) μονόκυτιν, δύο ἀσκύλτων ποδῶν ἐςηριγμένων, ὧδε κἀκεῖσε (c) διαςρέφειν καὶ διασείειν· ἡνίκα γὰρ ἐν ταῖς κύναις εἶναι ἄρξηται, τῶν χειρῶν τῆς τροφῦ κατεχόμενον, ὡς περιπατεῖν μάθῃ· μετὰ δὲ ἐνιαυτὸν καὶ δίφρῳ καὶ ὀχήματι καλῶς βαςάξεται.

ΚΕΦΑΛ. ΡΕ'.

(α) Μεθ' ὁπόσας ἡμέρας ὁ τῦ νηπίυ ὀμφαλὸς πίπτειν εἴωθε.

Μετὰ τρεῖς ἢ τέσσαρας ἡμέρας· ἕως δ' ὁ διαμένει τῷ ξηρίῳ τῦ κεκαυμένυ μολύβδυ καλῶς θεραπεύεται.

ΚΕΦΑΛ. Ρϛʹ.

Πῶς (a) σὺν ἀκριβείᾳ τὸν ὀμφαλὸν (b) διατοπῶμεν.

Βάλλαν μολυβδίνην πρὸς ὁμοίωσιν (c) μελιαρισίου ποιῦντες ἐπιτίθεμεν (d)· ἥτις δυνηθῇ αὐτὸν τῷ ἰδίῳ βάρει (e) κατάκυκλον ποιεῖν.

ΚΕΦΑΛ. ΡΖʹ.

Πόσῳ χρόνῳ φασκιωτέον τὸ νήπιον;

Παρὰ μὲν τισὶ ἐπὶ ἡμέρας μʹ. παρὰ δὲ (a) τισὶν ἄλλοις ἐπὶ ἡμέρας ξʹ. παρ' ἡμῖν δὲ ἕως ὃ τῷ ὁλοκλήρῳ ἰδίῳ σώματι τὸ νήπιον ἐμπηχθῇ, καὶ ςερεωθῇ· ὅπερ (b) συνεχέςερον συμβαίνειν εἴωθεν (c) αὐτοῖς τοῖς καλῷ χρώματι ὖσι γεγεννημένοις· καὶ βραδύτερον τοῖς ἐν ἀῤῥωςίᾳ (d) ὖσιν· (ὐχ) ὁμῦ (δὲ) πάσας τὰς φασκίας λύομεν, ἀλλὰ μερικῶς κατ' ὀλίγον· εἰ γὰρ καὶ ὁμῦ τὸ πᾶν σῶμα γυμνώσωμεν τῇ (e) κενότητι πατάσσεται, καὶ καχεκτεῖ.

ΚΕΦΑΛ. ΡΗʹ.

Ὁποῖα μέρη πρῶτον λύομεν τῦ νηπίυ;

Τὰς χεῖρας· ἀλλὰ μὴν καὶ παρερχομένων τινῶν ἡμερῶν καὶ τὸς πόδας· καὶ γὰρ ἐξ αὐτῶν τῶν

χειρῶν πρῶτον τὴν δεξιὰν, ἐκβάλλεσθαι, ἵνα μετὰ τὸ λυθῆναι τῇ ἰδίᾳ κινήσει γυμνασθήτω· καὶ μετὰ ταῦτα τὴν ἀριστερὰν αὐτοῦ χεῖρα ἐκβαλλέσθαι.

ΚΕΦΑΛ. ΡΘ'.

(α) Πότε πρῶτον ἐν τῷ βαλανείῳ τὸ νήπιον () λέεσθαι ὀφείλει;

Ἡνίκα μετὰ τὴν λύσιν πασῶν τῶν φασκίων μᾶλλον στερεωθῇ ἡ διάθεσις.

ΚΕΦΑΛ. ΡΙ'.

Ὁπότε καὶ πῶς πρὸς τὸ καθίσαι, ὀρθῶς (α) ὀφείλει καθιδρυνθῆναι τὸ νήπιον;

Ἡνίκα (b) περιπατήσῃ (c) καὶ πρὸς τὸ καθίζεσθαι (d) ἑαυτῇ συνεχέστερον ἄρξηται· οὕτως ὡς πέριξ στρώμναις αὐτὸ κατασκεπάσῃς, καὶ ἐνειλίσσῃς, ὅπως διακρατεῖν ἑαυτὸν δυνηθῇ, οὕτως ἵνα μὴ ἐπιπολὺ πρότερον καθίσῃ.

ΚΕΦΑΛ. ΡΙΑ'.

Πῶς διδακτέον τὸ βρέφος περιπατεῖν;

(a) Μεταξὺ τῶν τεσσάρων· ἀποῤῥιφθέντων ἐνώπιον αὐτοῦ τινῶν πραγμάτων, εἰς ἃ ἐπελθεῖν ἐπιθυμήσει, καὶ γυμναζέσθω.

ΚΕΦΑΛ. ΡΙΒ'.

(α) Πότε εἰς τὸ περιπατεῖν διδακτέον τὸ νήπιον;

Ἡνίκα ὅλον τὸν ἐνιαυτὸν πληρώσει, ὅπως τοίνυν στῆναι δυνηθῇ, ἀνορθωτέον πρῶτον εἰς τὸ τεῖχος· ἢ ἐν δίφρῳ, ἐν ᾧ (b) πόδας τροχὰς ἔχῃ (c) ἢ τιθέσθω, ἵνα τῷ ὀλισθήματι αὐτοῦ ἐθίσει βήματα ποιεῖν, καὶ περιπατεῖν.

ΚΕΦΑΛ. ΡΙΓ'.

Πότε τὸ βρέφος (α) ἀποκοπτέον ἀπὸ τοῦ γάλακτος;

Μετὰ ἐνιαυτὸν καὶ μῆνας ἕξ, ἢ πληρωθέντων τῶν δύο ἐνιαυτῶν (b) τοῖς ὀδοῦσιν ἤδη περισσότερον στερεοῖς (c) οὖσιν, οἵτινες δυνήσονται ὅλην τὴν στερεὰν τροφὴν (οὐ μόνον) διαιρεῖν, ἀλλὰ καὶ ἐπιμελῶς αὐτὴν κατεσθίειν.

ΚΕΦ'.

ΚΕΦΑΛ. ΡΙΔ΄.

Ὁποία διδαχῇ τὸ βρέφος ἀπὸ τοῦ γάλακτος χωρίζομεν;

Πρὸ (a) ὀλίγας ἡμέρας (b) ἀρξάμενοι κατ᾽ ὀλίγον τὰς τροφὰς προστιθέναι, καὶ ἀραιῶς πρὸς τὸν μαθὸν πλησιάζειν (c) καὶ οὕτως δὴ ὅλου ἐσχάτως τὸ γάλα ἀπαρνήσασθαι. Ἐκεῖνοι δὲ οἱ τὰ ὄντα πικρὰ τοῖς μαθοῖς ἐπιχρίειν εἰώθασιν, ἡμῖν οὐκ ἀρέσκουσιν.

ΚΕΦΑΛ. ΡΙΕ΄.

Ποίαν πρῶτον τροφὴν τῷ βρέφει δοῦναι ὀφείλομεν;

(a) Ψυχίας εἰς μελίκρατον, ἢ εἰς κόνδιτον, ἢ ἐν γάλακτι (b) βεβρεγμένας, ἢ χυλὸν χόνδρου, ἢ προσφάγια πυροῦ.

ΚΕΦΑΛ. ΡΙϚ΄.

Ποῖον δὲ πόμα δώσομεν;

Ἐνίοτε οἶνον, ὕδωρ πολλάκις εἰς ἀγγεῖον ὑέλινον εἰς ὁμοιότητα ῥόγος πεπλασμένον, καὶ τετρημένον· ὅπερ οἱ ἄγροικοι σταφυλίδα προσαγορεύουσιν, ἢ πατζουνάριον.

ΚΕΦΑΛ. ΡΙΖʹ.

Πότε τὸ νήπιον ἄρχεται ὀδοντοφύειν;

(a) Πρῶτον μὲν ἀπὸ τοῦ ἑβδόμου μηνὸς φύειν ἄρχονται (οἱ ὀδόντες) ἀλλ' οὐ πᾶσιν ἐπίσης.

ΚΕΦΑΛ. ΡΙΗʹ.

Ποῖα εἰσὶ σημεῖα πότε τὸ νήπιον ὀδοντοφύειν ἄρχεται;

Εἰς τὰ οὖλα αὐτοῦ κνησμονὴ ἔσται, ζέσις δὲ ἐκ τῶν σιαγόνων, καὶ ἐν τῷ τραχήλῳ τῶν νεύρων ὀδύνη· ὅθεν συνεχέστερον αἱματώδης χυμὸς διὰ τοῦ στόματος, ἢ ἐκ τῶν (a) ὤτων ἐξελθεῖν εἴωθε.

ΚΕΦΑΛ. ΡΙΘʹ.

Ποίοις πράγμασι χρηστέον, ἵνα μὴ σὺν ὀδύνῃ, καὶ στρόφῳ τοὺς ὀδόντας ἐκβάλλωσι τὰ νήπια;

Ἀπὸ τοῦ πέμπτου μηνὸς (μετ') ἐλαίου γλυκέως, καὶ στέατος προσφάτου ἀλεκτορίδος, (καὶ ἐγκεφάλου) τῶν λαγωῶν τὰ οὖλα αὐτῶν συνεχέστερον ἀνατρίβειν· ὑστάτως δὲ μετρίως ἀφεψημένῳ μέλιτι ἐπιχρίσεις· ἡνίκα ἡ ζέσις δεινή, πυρίαις καὶ καταπλάσμασι χράσθω, οὕτως ἵνα ἡ τροφὸς αὐ-

τοῦ

τȣ̃ οἶνον μὴ πινέτω, καὶ τροφὴν ὀλίγην λαμβανέτω.

ΚΕΦΑΛ. ΡΚ΄.

Πρὸς ζέσιν τῶν φαρύγγων τῶν νηπίων ποίοις πράγμασι χρώμεθα;

Δηλαδὴ πᾶσι τοῖς χαλᾷν δυναμένοις, ἅπερ εἰσὶ μέλι ὀλίγον ἀφεψημένον, μελίκρατον, καὶ χυλὸς πτισάνης, καὶ τὰ τȣ́τοις ὅμοια· ἅπερ μὲν τȣ̃ ςόματος, καὶ τῆς γλώσσης (a) ἑλκώσεις κȣφότατα ἐςὶν· ὅμως συνεχέςερον (b) μελίτȣ ἁπαξωκχλῶς (c) ἐπιχρισθῇ, σὺν τῇ καλίᾳ τῶν χελιδόνων λελειωμένη, καὶ ὀλιγίςȣ ἀφεψήματος μεμιγμένȣ, καὶ εἰσάγεται τοῖς φάρυγξι. Εἰ δὲ ἐπαυξήσει σὺν ξηρότητι, καταπλάσματι χρώμεθα· εἰ δὲ σὺν πλεονεξίᾳ τῶν χυμῶν αὐξήσει, ἐκείνοις τοῖς πράγμασι χρώμεθα τοῖς δυναμένοις ἐπέχειν, τȣτέςι λέπια ῥοῶν, καὶ φακὰς λελειωμένας σὺν μέλιτι ἐπιτίθεμεν· τὰ δὲ ἔνδον ὄντα ἕλκη διὰ τῆς (d) ἀνθηρᾶς θεραπεύομεν, ἢ ἄνθει ῥόδȣ (e) τοσȣ̃τον μόνον, ἢ μετὰ (f) κυπέρεως χρώμεθα, καθάπερ γε ἔς τινα τῶν ῥευμάτων ἤδη τεθείκαμεν· καὶ τῷ (g) διὰ μόρων, καὶ τῷ (h) διὰ κωδίων, καὶ χυλῷ τοίνυν ἀρνογλώσσȣ σὺν μέλιτι ἀφεψημένῳ.

ΚΕΦΑ'Λ. ΡΚΑ'.

Πρὸς (α) κνησμονὴν, ἐξανθήματα, καὶ φλυκτίδας τὶ δεῖ ποιεῖν;

Πυρίαις ὕδατος θερμȣ̃, καὶ (b) ἐπαλειφὰς ἐλαίȣ, ἔνθα ὀλίγος κηρὸς λελυμένος ἐςι (c). Εἰ δὲ ἐξανθήματα (καὶ) φλυκτίδες σὺν ὑγροῖς ἕλκεσιν ἐξέλθοιεν, χρώμεθα ἐκείνοις τοῖς ἐπέχειν καὶ ἀναξηραίνειν δυναμένοις· μετὰ δὲ τὸ βαλανεῖον ἐπιχέοντες ὕδωρ θερμὸν, ἐν ᾧ εἰσὶν ἀφεψημένα ῥόδα (d) σχοῖνος, ἀγριοσυκάμινα, μύρτη, καὶ ῥοᾶς λέπια· τοῖς καταπλάσμασι τοίνυν προσμίγνυμεν φύλλα ἀρνογλώσσȣ, ἐντύβων, ἀνδράχνης, ςαφυλῆς ὀμφακίνης· ἐπιχρίομεν τοίνυν ἐλαίῳ ῥοδίνῳ, ἢ μυρτίνῳ σὺν ψιμμυθίῳ, καὶ λιθαργύρῳ, καὶ συπτηρίᾳ σχιςῇ.

ΚΕΦΑ'Λ. ΡΚΒ'.

(α) Πῶς ἦχον ὤτων καὶ τρισμὸν ὀδόντων θεραπευτέον;

Ἦχον ὤτων, καὶ ςόματος ψόφον οἵτινες ἀπὸ χυμȣ̃ συμβαίνȣσιν ȣ̃τως θεραπευτέον· δηλαδὴ μελίκρατον σὺν ὀλίγῳ μέλιτι ἀφεψημένον συνεχῶς τῷ νηπίῳ δώσομεν.

ΚΕΦΑΛ. ΡΚΓ'.

(α) Πρὸς βήχιον αὐτῷ τὶ δώσομεν;

Ἔκλειγμα δηλαδὴ, ὅπερ σωίζεται . . . (b) ἢ διαῤῥοίαν γαςρὸς ἰδικῶς ὅμως ἔχοντες καθάπερ ἐπὶ τῆς μήτρας ἀποπνιγμὸς, καὶ αἵματος ῥεῦσις· ἔξεςι ταῦτα φυσικῶς ἐκείνοις τοῖς προειρημένοις συγγραφῆναι (c).

ΚΕΦΑΛ. ΡΚΔ'.

Ποία εἰσὶ τὰ νοσήματα τῶν γυναικῶν, ἃ διὰ τὴν σφίγξιν γενέσθαι εἰώθασιν;

Ἐπίσχεσις ἐμμήνων, ζέσις τῆς μήτρας, τάσις, οἴδημα (a) σκλήρωσις, καὶ τῆς μήτρας ἀποπνιγμός.

ΚΕΦΑΛ. ΡΚΕ'.

Ποία εἰσὶ τὰ διὰ τὴν ῥεῦσιν τοῦ σώματος εἰσφερόμενα;

(a) Εἴ τις ςραγγοειδῶς καθαίρεται· οὐδὲ (b) νῦν τρέχει· καὶ πρὸς τούτοις τὶ διαφέρει, εἴ τις καθόλου οὐ καθαίρεται, ἐξ ἐκείνης τῆς μὴ καθαιρομένης διὰ ἐπίσχεσιν τῶν ἐμμήνων, ὅτι αὗται αἱ

αἱ-

αἰτίαι ἀῤῥωςίαν δεικνύουσι· μὴ (c) καθαίρειν δὲ καὶ τὴν φύσιν συντρέχειν εἴωθε.

ΚΕΦΑΛ. ΡΚϚ'.

(α) Περὶ ἐπισχέσεως τῶν ἐμμήνων.

Περὶ ἐπισχέσεως τῶν ἐκμήνων, ἢ ὁσάκις ςραγγοειδῶς, καὶ σὺν ὀδύνῃ καθαίρονται φαμὲν οὕτω· πολλαὶ εἰσὶν αἱ αἰτίαι, αἵτινες μὴ καθαίρεσθαι τὰς γυναῖκας ποιοῦσιν· ἀλλὰ πρῶτον μὲν εἰσὶ τινὲς, αἱ μηδεμίαν ἀῤῥωςίαν ἔχουσαι, φυσικῶς οὐ καθαίρονται. Αἱ δὲ τῇ ἡλικίᾳ ἐμποδιζόμεναι, τουτέςιν αἱ γραῦς καὶ αἱ κόραι· ἄλλαι δὲ γυμνασίᾳ φωνῆς, τοῦ αἵματος τὴν κάθαρσιν καταναλίσκουσι, τουτέςιν αἱ ἀθλοῦσαι, καὶ ἀνδρικὸν σῶμα ἔχουσαι· ὅλον γὰρ τὸ αἷμα τῆς καθάρσεως τοῖς γυμνασίοις καταναλίσκουσι, καὶ εἰς τὸ σῶμα μεταπέμπουσι, καὶ οὐδὲν ἀπομένει, ἵνα ἡ (b) μήτρα διὰ τὴν κάθαρσιν λάβῃ, καὶ διατηρήσῃ, καὶ πληρωθέντος τοῦ μηνὸς τὴν κάθαρσιν ἀντιπαριςᾷ.

Ἄλλαι δὲ εἰσὶν (c) αἱ ἀῤῥωςίαι τινὶ τῶν μερῶν, ἢ ὅλου τοῦ σώματος οὐ καθαίρονται· ὅλου μὲν τοῦ σώματος, ὡς αἱ λεπταὶ καὶ συντηκτικαὶ καὶ αἱ πολὺ πιμελώδεις- ἢ παχεῖαι (d)· τῷ δὲ (e) μορίων ἐμποδίζονται, ὡς ὅτε τὸ ςόμα τῆς μήτρας ἐνίοτε κεκλεισμένον, ἢ τυλῶδες χοῦσιν, ἢ συμβαῖνον ἕλκος μώλωπας ἄγεται. Ταύτας

τοί-

τοίνυν τὰς προειρημένας αἰτίας καταλαμβάνομεν τούτοις τοῖς σημείοις. Εἰ γὰρ φυσικῶς καθόλου, μὴ καθαίρεται ἡ γυνὴ, ὑγιὴς καὶ ἄνευ τινὸς μομφῆς τοῦ σώματος καὶ τῆς μήτρας ζῶσα αὐτὴ, οὐδέποτε ἂν εἴη κεκαθαρμένη· αἱ δὲ τῇ ἡλικίᾳ μὴ (f) καθαίρουσαι, αἱ γραῦς καὶ αἱ κοραὶ, ἡνίκα ἐπηρωτηθῶσι τὰ ἴδια ἔτη ἁπλῶς ὁμολογεῖν δύνανται (g)· τὴν ἀῤῥωστίαν ὅλου τοῦ σώματος τοῦ ἰδίου καὶ παρὰ τοῖς ἰατροῖς ὁρῶνται. Εἰ δὲ ἡ μήτρα ἔχοίη τοπικὸν ἐμποδισμὸν, παρὰ τῆς μαίας ἐπισκοπήσεις, ἵνα εὑρίσκηται· ὅτι ἐκείνη ἡ κάθαρσις, ἥτις ἀεὶ ἦν, διὰ αὐτοῦ τοῦ νοσήματος συμβαίνει μὴ καθαίρεσθαι· ἐκείνας τοίνυν, αἵτινες φυσικῶς, ἢ τῇ ἡλικίᾳ μὴ καθαίροιται, παντελῶς οὐ θεραπευεὶν, μήπως κατὰ τὴν φύσιν ποιήσομεν ἐναντίον· καὶ οὔτε ἐκείνην, ἡ γυμνασίοις, ἢ ᾠδῇ οὐ καθαίρεται· ἐκείναις δὲ, αἱ σὺν ἀῤῥωστήματι οὐ καθαίρονται, ἁρμοδίως τὴν ἐπιμέλειαν τῶν παθῶν αὐτῶν παρέχομεν. Εἰ γὰρ ὁ ὑμὴν κεκλεισμένος εἴη, τὸ στόμα ἀνοίγομεν. Εἰ δέ τις ἐκεῖ αἰτία ἄλλη εἴη, ἡ εὑρεθεῖσα ἀρθήσεται· τὴν διαστροφὴν τοίνυν διορθωσόμεθα· ἡ ζέσις λυθήσεται, εἰς ὅσον δύναται (h) κατεχέσθω. Τὰς δὲ κεκμηκυίας, καὶ λεπτὰς (i) ἀναβάσεις· τὰς δὲ πολὺ πιμελώδεις, καὶ παχείας ἀπολεπτυνεῖς· τούτων πάντων τῶν προειρημένων τὰ νοσήματα, καὶ τὰ σημεῖα, καὶ τὰς θεραπείας ἐν

τοῖς ἐπακολέθοις ἰδικῶς τεθειμένα εὑρήσεις, ὅθεν θεραπεύειν δυνήσῃ· καὶ ὅπερ πρῶτον ἐςὶν ἐπίσχεσις τῶν ἐμμήνων ἀπὸ ταύτης τὴν ἀρχὴν λαμβάνωμεν (k)· ἡ σφίγξις τοίνυν καὶ ἡ ζέσις ἐν τῇ μήτρᾳ γενομένη ἐνίοτε ἐπέχονται τὰ ἔμμηνα· ἐνίοτε σὺν ὀδύνῃ (ςραγγοειδῶς) φέρονται· σημεῖα δὲ συμβαίνεσι (l) τοιαῦτα. Τάσις καὶ ὀδύνη ὀσφύων, καὶ ἐπὶ τὸν κτένα, καὶ ἐν τῷ βεβῶνι· τῆς κεφαλῆς τοίνυν ὀδύνη, καὶ τȣ͂ αὐχένος, καὶ αἱ βάσεις τῶν ὀφθαλμῶν συνεςαλμέναι εἰσὶ συνεχέςερον· καὶ ἀνορεξία αὐταῖς συμβαίνει, ἦχος ὠτῶν, ζέσις σὺν ἐρεύθῳ τȣ͂ χαρακτῆρος, τῶν μαςῶν τοίνυν (m) τὴν φλεγμονὴν, καὶ τῶν μερῶν δὲ τῶν γυναικείων ξηρότης· ἅπερ πάντα συντρέχεσι ταῖς ἡμέραις τῆς καθάρσεως· ὅτως δὲ μετὰ τῶν προειρημένων σημείων τῇ γυναικὶ ἐλθεῖν ἄρξηται, καὶ ὀδύναι συντρέχεσι· ἀνακλιντέα ȣ͂ν ἐν τῷ κοιτῶνι μετρίως θερμῷ καὶ φωτεινῷ, ἐςρωμμένῳ δηλαδὴ μαλακῶς· σκεπαςέα ςρώμναις καιναῖς καὶ τριχώδεσιν· ὅτως ἐπὶ δύο ἡμέρας μηδὲν λάβοι. Τὰς δὲ τόπες ἐκείνες εἰς ὃς ὀδύνην, καὶ τάσιν, καὶ βαρυτῆτα ἔχεσι, πάσαις πυρίαις ἢ ῥάκεσι θερμοῖς πυριαθήτωσαν· καὶ γὰρ καὶ κύςις ἔλαιον θερμὸν ἔχεσα, καὶ μὴ πλήρης καλῶς τοῖς μέρεσιν αὐτῆς ἐπιτίθεται· μετὰ δὲ τὴν πυρίαν ῥάκεσι καθαροῖς ἐλαίῳ βραχεῖσι καὶ ἐκθλιβεῖσιν ὅλες τὰς τόπες

σκε-

σκεπάσωσι· καταπλάσμασι τοίνυν μελίκρατον ἑψημένον καταπλάσομεν, καὶ (n) ἐπερχομένης τῆς τρίτης ἡμέρας ἐλαίῳ ἁπλῷ ἐπαλειφομένη, καὶ ὕδατι θερμῷ πυριαθείσῃ τροφὴν ἁπλὴν καὶ θερμὴν δώσομεν· ἡνίκα δὲ αἱ προῤῥηθεῖσαι αἰτίαι αὐξήσωσι (o) καὶ ὀδύνη εἴη πλέον, τῇ δευτέρᾳ ἢ τῇ τρίτῃ ἡμέρᾳ φλεβοτόμῳ μᾶλλον αὐτὴν θεραπεύσομεν, καὶ ἡνίκα ἑαυτὴν ἡ γυνὴ μετὰ τὴν φλεβοτομίαν ἀνακτήσοται, σὺν ἐλαίῳ γλυκεῖ, καὶ ὕδατι θερμῷ, ἢ ἀναληπτικοῖς σπέρμασι λινου, τήλεως καὶ ῥαφάνων (p) οὕτως, ὡς ὅταν ἐκεῖσε ἐγκαθίσει (q) τοῖς αὐτοῖς χυλοῖς, τοῖς ἐνδοτέροις μέρεσι καταλάβωσι· καὶ ἡνίκα τὸ ἐγκάθισμα πέψῃ, πυριαθεῖσα καὶ ἐπαλειφθεῖσα ποιήσεις τροφὴν ἁπλῆν λάβοι, τουτέστιν ὠὰ ῥυτὰ, ἄρτον καὶ ὕδωρ· καὶ προσφάγια μαλακὰ καὶ ὕδωρ θερμὸν πινέτω, καὶ μετὰ τὴν θάλψιν κοιμηθήτω (r) ὅπως δὲ αὐτὸ ἐπιπολὺ, ἕως εἰς μείωσιν τῆς ἀῤῥωστίας καθ' ἡμέραν θεραπευθῇ (s), ἢ αἱ δυνάμεις αὐτῆς ἐπιτρέψοιεν, ἡμέραν ἐς ἡμέραν τροφὴν λαμβανέτω· τῇ δὲ τρίτῃ ἡμέρᾳ μετὰ τὴν φλεβοτομίαν (t) ἐπιθέναι σικύαν ὀφείλομεν, ἐν τῇ ἐπισημασίᾳ μὲν τῆς ὀδύνης, καὶ εἰς τὴν ἀκμὴν (v) δὲ τοῦ νοσήματος· εἰς ἄφεσιν μὲν τῆς ὀδύνης μετὰ καταχάσεως αὐτὴν ἐπιπληρώσομεν, ἐπὶ τὸν κτένα δηλαδὴ, καὶ τοῖς ὑποχονδρίοις (x)· ἐπιμένουσαν δὲ ἔτι τὴν ὀδύνην τοῖς αὐτοῖς τόποις βδέλλας

κα-

καλῶς ἐπιτίθεμεν· εἰ δὲ ὀλίγον αἷμα ἐξενέγκαν, σικύας ἐκεῖσε τίθεμεν, καὶ οὕτως αἷμα καταπαύομεν· ταῖς δὲ τρώγλαις τῶν βδελλῶν, κηρωτὴν ἐπιτίθεμεν· καὶ εἰ χρεία εἴη, πάλιν τοῖς εἰρημένοις πράγμασι καταπλάττομεν, καὶ σπόγγοις ἔν τισι τῶν χυλῶν βεβαμμένοις αὐτοὺς τοὺς τόπους πυριάζομεν· καὶ τὸ ἔλαιον γλυκὺ, καὶ θερμὸν πλῆρες τὸ ὀξύβαφον ἐπιβάλλομεν· χρώμεθα τοίνυν πεσσοῖς ἁπλοῖσιν, ἐξ ὧν ὅπερ ἐξ ἐλαίου γλυκέως καὶ θερμοῦ συνίσταται, ὅπως ἐμβεβαμμένον ἐκεῖσε τὸ ἔριον τεθῇ· ἐνίοτε δὲ τήλεως καὶ μαλάχης αὐτῷ προσμίγνυμεν· μετὰ (y) ταῦτα δὲ τούτους τοὺς παρηγορικοὺς, ἀλλὰ μὴν ταύτῃ τῇ διδασκαλίᾳ σκευάζονται (z)· τῆλιν ἐπιμελῶς λελειωμένην εἰσαγέσθω, ἵνα τοίνυν τοσοῦτον τοῦ λινοσπέρμου δέξηται· καὶ ῥίζας ἀλθαίας τῆς πόας, ἔπειτα ἐπιβληθέντος τοῦ ὕδατος ἀφεψηθῇ· ἡνίκα δὲ παχὺς γενόμενος εἴη ὁ χυλὸς, στέαρ χήνειον ἢ ἀλεκτορίδων ἐκεῖσε βληθὲν, καὶ (aa) ἀναβληθὲν μετὰ πτερῶν ἀναδευθῶσι, καὶ οὕτως ὁ χυλὸς προσμιχθήτω· ἀλλὰ σὺν τῷ μεγίστῳ χυλῷ καὶ φοίνικος λιπαροὺς κλάδους ἑψῆσαι, οὕτως ὡς ὅταν ὑγροὶ γένωνται (bb) ἀφαιρεθέντες τούτων ὁ φλοιοὶ (cc) ὥσπερ ἐκτὸς ἔχουσι (dd) λειωθείτω· καὶ οὕτως (ee) τοῖς χυλοῖς μιχθήτωσαν· καὶ μελιλωτὸν δὲ καλῶς κεκομμένον καὶ σεσησμένον συνεχέστερον ἐκεῖσε προσμίγνυ-

γνυ-

γνυμένον, ἢ (ff) ῥάκος δεδεμένον ἀφεψοῦμεν, καὶ οὕτως τοὺς φοίνικας ἐκεῖ ἐκζέσομεν· καὶ τοὺς ἀκρέμονας αὐτῶν ἐκεῖσε συγκόπτομεν· ταύτῃ τοίνυν τῇ ἐπιμελείᾳ, ἡνίκα τὸ νόσημα εἰς τὸ βέλτιον προκόψῃ· ἀλλὰ μὴν καὶ ἐν ὀχήματι καθίζομεν αὐτὰς, καὶ (gg) διακινεῖν κελεύομεν· γεγονυίας δὲ τῆς ἐλαττώσεως, ἡ κάθαρσις ἑαυτὴν δεικνύειν εἴωθε· μετὰ δὲ τὸ παραληλυθὸς ἀπενεκτέα ἐπὶ τῷ βαλανείῳ, καὶ τῇ ποικίλῃ τροφῇ, διακινήσει (hh) δὲ, γυμνασίοις καὶ ἀνατρίβαις, πρῶτον ὅλου τοῦ σώματος, δεύτερον τοίνυν καὶ αὐτῆς τῆς μήτρας, ἥτις ὀφείλει γίνεσθαι ταύτῃ τῇ διδασκαλίᾳ, ὅπως ὁπόταν εἰς τὰ ἐγκαθίσματα (ii) καθίσῃ, ἢ ἐν βαλανείῳ κατέλθῃ ἐκεῖσε τὴν γυναῖκα μετὰ (kk) σπόγγων ἢ ἐρίου ἀπὸ τοῦ ὀμφαλοῦ εἰς τοὺς κάτω τόπους τῆς μήτρας ἄνευ ἐνοχλήσεως ἀνατρίψουσιν οὕτως, ὅπως καθ' ἡμέραν τῆς αὐτῆς (ll) ἀνατριβῆς αὔξησιν ποιήσωσι· μετὰ δὲ (mm) ἐγκαθίσματα (nn) τοῦ βαλανείου (oo) κηρωτὴν (pp) καὶ ἐξ ἐλαίου σουσίνου, ἢ σαμψυχίνου γίνεται αὐτὰ τὰ μέρη ἐπιχρίσουσι, καὶ ἔνδον εἰς τὸ στόμα (qq) ἐπιθήσει· ἡνίκα δὲ πλέον προκόψῃ, καὶ ἐκ τῶν ἔξωθεν πεσσῶν χρῆσθαι δυνάμεθα (rr) ἅτινα δέχονται κηρὸν, τερεβινθίνην, στέαρ ταύρειον, μυελὸν ἐλάφου, καὶ κυπρινέλαιον· καὶ μάλαγμα τὸ διάχυλων λελυμένον ποιήσεις πεσσὸν ἄριστον· καὶ ἄκοπον τὸ διὰ

σαμ-

σαμψύχου καλῶς τίθεται· καὶ ἐσχάτως (ss) λίβανον τὸ μεῖζον· οὕτως μέντοι, ὡς εἰ ταῦτα ἐλάττονα κάθαρσιν δὲ ὁλοκλήρου ποιήσειαν, ἐσχάτως δὲ ἐλαίῳ ἐν αὐτοῖς τοῖς ἀγγείοις ποιήσεις (tt) ἢ ὅπερ ἐστὶν ἀληθέστερον τῷ (vv) κατέωνι θεραπεύσομεν.

ΚΕΦΑΛ. ΡΚΖ΄.

Περὶ ζέσεως τῆς μήτρας.

Τὴν τῆς μήτρας ζέσιν πολλαὶ αἰτίαι ποιοῦσιν· ἐνίοτε γὰρ (a) ἀποψυχεῖν αὐτὴν τὴν ψύξιν· ἐνίοτε εἰσδύνει σὺν προπετεῖ καμάτῳ, ἢ συνεχεῖ ἐκτρώσει γεννᾶται· ἢ εἰ ἐξ ἀπείρου μαίας κακῶς εἴη μαιευθεῖσα, καὶ ἔσται ἡ πᾶσα αὐτῆς μήτρα ἐν ζέσει, ἢ τινα τῶν μερῶν αὐτῆς· ὁσάκις δὲ πᾶσα ἡ μήτρα εἴη ἐν ζέσει, ὀδύνη αὐτῆς συντρέχει σὺν σκληρίᾳ καὶ ξηρότητι καὶ ζέσει. Βαρύτης τοίνυν τῶν ὀσφύων, καὶ τῶν αὐτῆς γειτνιαζόντων μορίων, καὶ τῶν βουβώνων· ἀλλὰ καὶ τινα ἔμφραξιν τοῦ σώματος, καὶ νύγματα ἑαυταῖς αἰσθάνονται τοῦ σώματος· τοίνυν (b) καὶ τῶν βουβώνων ψύξις συμβαίνει· ὁ σφυγμὸς δὲ πυκνὸς καὶ μικρὸς εὑρίσκεται, ὁ στόμαχος κεκακωμένος, ἐνίοτε σὺν θλίψει τοῦ θώρακος· καὶ ἡ ἴκα εἰς τὸ χεῖρον μετέλθοι, λυγμὸς αὐτῇ συντρέχει, καὶ ὀδύνη τοῦ αὐχένος, καὶ τῆς κεφαλῆς, καὶ των ὀφθαλμῶν, καὶ μάλιστα κατὰ

τὰς

τὰς ῥίζας· ϗ γὰρ τὸ οὖρον συνεχέστερον συντρέχει, ϗ ὁ κόπρος ἐμποδίζεται· ϗ αὐτοὶ οἱ τόποι μεγάλοι γίνονται, ϗ ἐκτέτανται σὺν ὀξέσι πυρετοῖς, ϗ παρακρουσμῷ τῆς διανοίας ϗ σπασμῷ· ὁσάκις δὲ τὸ στόμα αὐταῖς (c) ἀνέωκται (d), τὸν δάκτυλον ἡ μαῖα εἰσβάλλει, εὑρίσκει τῷ κεκλεισμένῳ καταλαβεῖν· συμβαίνει δὲ ἵνα βήβων αὐτῇ γεννηθῇ, ϗ ἐπὶ τὸν κτένα (e) πᾶσι σχῇ. Ὁσάκις δὲ ἐν τῷ τραχήλῳ τῆς μήτρας εἰς τὴν διακόσμησιν, ϗ εἰς τὸ στόμα αὐτῆς οἴδημα σὺν ζέσει εὑρίσκεται, οὕτως (f) ὡς ἡ γαστὴρ τῆς γυναικὸς συναίσθησιν σχῇ τῆς ὀδύνης, ϗ ἐμποδισθῇ πρὸς τὸ περιπατεῖν, ἐπίσχεσις τοίνυν τοῦ οὔρου, ἢ τοῦ κόπρου, ἢ τῶν ἑκατέρων γε πραγμάτων γίγνοιτο· (g) εἰ μέντοι ἐνίοτε τὸ μέρος, ὅπου τὸ κῶλον κεῖται, ϗ ἐνίοτε αὐτὸ τὸ ἀνώτερον, ᾧτινι ἐπίκειται ἡ κύστις· ἐνίοτε γὰρ ὁ τράχηλος αὐτῆς (h) τῇ διακοσμήσει, ϗ ἐκεῖθεν τοῦ περιπατεῖν ἐμποδίζονται· ἀλλ' (i) ἐν ταῖς βάσεσιν αὐτῆς, αἵτινες δακτύλιον λέγονται σχοίῃ, ἐντεῦθεν ἔξωθεν ὀδύνη ϗ οἴδημα ἔσται, ϗ ὁ κόπρος, ἐμποδισθῇ· εἰ δὲ ἐν ταῖς πλευραῖς σχοίῃ, ϗ ἐκεῖ μὲν φλεγμονὴν εὑρήσεις ϗ ὀδύνην· εἰ δὲ ἐν τῷ βάθει τῆς μήτρας, ἀδιάλειπτος ἐστὶν ἡ ὀδύνη, ϗ ἡ τάσις ϗ βάρος ἐν αὐτῷ τῷ ὀμφαλῷ ἔσται· ϗ γὰρ συνεχέστερον (k) αὐτῷ τὸ στόμα ἀνεσταλμένον ἔσται, ϗ ἔνδον ἐπὶ τὸ ἀνώτερον ἀνάγεται, ἵνα παρὰ ταῖς μαίαις (l)

ἀνευκό-

ἄνευ κόπης, ὀυδεμία αἰτία τῆς μήτρας (m) λέγεται εἶναι ἰάπασα δὲ ἡ μήτρα ἐν ζέσει τέθειται. εἰς πάντα δὲ τὰ μέρη αὐτῆς τὰ προειρημένα συμβαίνουσι, καὶ πάντων τῶν πλησιαζόντων μερῶν σύντασις ἀποτελεῖται· αὐτῆς τοίνυν τῆς γαστρὸς τὸ δέρμα ἐν πλέονι οἰδήματι, (n) παραδίδοται, καὶ ἐνίοτε συμβαίνει ὅπως τῆς μήτρας τὴν αἰτίαν μὴ (o) ἔχουσαι, αὐτὸ μόνον τὸ δέρμα πάσχη, δι' ἣν αἰτίαν διαχωρίσαι ὀυκ ἠβουλήθην, εἰ μέντοι μίᾳ ἐπιμελείᾳ καὶ ἑκάτερα τὰ πράγματα θεραπεύονται· ὅσον δὲ πρὸς τὴν θεραπείαν (p) μετῆλθεν, αὗται εἶναι δυνήσονται ἀναγκαῖαι, ἃς τετύχαμεν ὄπισθεν (q) ἐκεῖναι, αἷς τὰ ἔμμηνα ὀυκ ἔρχονται, ἢ σὺν ὀδύνῃ καθαίρονται. Καὶ ταύτας τοίνυν κελεύομεν ἀνακλινθῆναι ἐν κοιτῶνι μετρίως φωτεινῷ, καὶ θερμῷ· ἡσυχίαν ἔχειν, καὶ ὄυτως ἐπὶ δυσὶν ἡμέραις τροφὴν μὴ (r) λαμβανέτω· χερσὶ τοίνυν θερμαῖς τὰ ἄκρα αὐτῶν διακατατεθείτωσαν, καὶ ἐρίοις σκεπαθήτωσαν· ἀλλὰ μὴν καὶ τῇ τρίτῃ ἡμέρᾳ, εἰ ἡ ζέσις ἐπαυξηθῇ, φλεβοτομητέον, καὶ πρὸς τὰ ἐγκαθίσματα καθιδρυνθῆναι· καταπλάσματα τοίνυν ἐκ τῶν σπερμάτων προσθετέα· εἰ δὲ ἐπιμείνῃ ἡ ζέσις φλέβα ἐξ αὐτοῦ τοῦ τραχήλου καταχάσομεν, καὶ ταῖς βδέλλαις χρησόμεθα· σπόγγοις τοίνυν ἐν τοῖς ζέουσι χυλοῖς ἐμβεβαμμένοις καὶ (s) ἐκθλιβεῖσι πυριάζομεν· καὶ τῇ προειρημένῃ κηρωτῇ, καὶ

τοῖς

τοῖς πεσσοῖς χρώμεθα· καὶ συνδεδραμηκυίας πλήρους ἐλαττώσεως βαλανείῳ καὶ ποικίλῃ τροφῇ σὺν πόσει οἴνου ταύτας ἀναλαμβάνομεν· εἰ δὲ καὶ οἱ πυρετοὶ ταύτῃ τῇ ζέσει εἰσὶ συνεζευγμένοι, τούτους τοίνυν τῇ ἁρμοζούσῃ ἐπιμελείᾳ ἀνορθοῦμεν. (t) καθάπερ ἐν τῷ ὑπομνήματι τῶν πυρετῶν εὑρήσεις ἐκτεθειμένον· ἀποδοκιμάζομεν δὲ πάντα ἅπερ ἀρχαιότης κενῇ ὑπολήψει, ὥσπερ εἰς ζέσιν ἔθεσαν, τουτέστι χυλὸν σταφυλῆς ὄμφακος, ἢ ἔλαιον ῥόδινον, ἢ πηγάνου μεμιγμένου σὺν ἐρίοις οἰσυπήροις ἐπιτεθειμένοις, (u) ῥάκη τοίνυν σὺν φύλλοις σελίνου (x) λελειωμένα· ταῦτα (γὰρ) τῇ ἰδίᾳ δριμύτητι καὶ τὴν ζέσιν διπλασιάζουσι, καὶ τρέφουσι.

ΚΕΦΑ΄Λ. ΡΚΗ΄.

Περὶ σατυριάσεως.

Σατυρίασις καὶ τῶν ἀῤῥένων, καὶ τῶν θήλειων κοινὸν πάθος ἐστὶν, (a) ὅπερ συνεχέστερον (b) τοῖς ἀνθρώποις συμβαίνει· ἐκεῖθεν τὸ ὄνομα (c) ἡ σατυρίασις εἴληφεν (d) ὅπερ οἱ ἀρχαῖοι μῦθοι ἀκρατῶς (e) πρὸς ἀφροδισίαν γεγράφασι· τῶν δὲ γυναικῶν σατυρίασις ἐστὶ κνησμονὴ τῶν αἰδοίων μερῶν σὺν ὀδύνῃ, οὕτως (f) ὥστε (g) ἀναφερόντως τὰς ἰδίας χεῖρας ἐκεῖσε (h) βάλλουσι, σὺν ἀκορέστῳ ἀνδρῶν ἐφέσει, ἀποβαλοῦσαι δηλονότι πάσης αἰδοῦς τὴν εὐλάβειαν· εἰ μέντοι τοίνυν παρὰ

τῆς

τῆς μήτρας τὸ πάθος τῦτο συμβαίνει τὴν εὐλάβειαν αὐτῆς (i) ἄρϐσι, ϗ ὅτως μὴ καταισχυνθῶσι, ϗ εἰς ὅσον ἦν ἐπιτρέπειν (k) αὐτὰς (l) ποιήσϐσι· θεραπείαν δὲ τὴν αὐτὴν παρέχομεν, ἣν ἐν τῇ ἐπιχέσει, ϗ ζέσει τῆς μήτρας διετυπώσαμεν.

ΚΕΦΑ'Λ. ΡΚΘ'.

Περὶ ἀποπνίξεως τῆς μήτρας.

Η' τῆς μήτρας ἀπόπνιξις παρ' Ε'λλησι πνιγμὸς λέγεται· ἐξ αὐτῆς (a) ἣν αἱ γυναῖκες παρὰ (b) πνιγαῖς ὀνόμασιν ἐκλήθησαν (c)· τῦτο δὲ ἐςιν ἐπίχεσις τῦ πνεύματος σὺν πάσῃ ἠρεμία, τῆς μήτρας δηλονότι πρὸς τὸν θώρακα ἀνερχομένης· ϗ ταῖς γυναιξὶ γίνεται ἀπόπνιξις ὅτως (d) ὡς ἄνει τεθνηκυίας πεσεῖν: γίνεται δὲ αὐτὴ ἡ νόσος ἐν τῇ συνεχεῖ ἐκτρώσει, ἢ (e) ἀώρῳ τόκῳ· ἀλλὰ μὴν ϗ χηρείᾳ μακρᾷ, ἐπιχέσει τε τῶν ἐμμηνων, ϗ φλεγμονῇ τῆς μήτρας· σημεῖα δὲ ταύταις συμβαίνϐσι ταῦτα, (f) ὅτι (g) ἀνερχομένη ἄνω πρὸς τὸν θώρακα ἡ μήτρα ἔγκειται, ϗ πᾶσαν τὴν αἴσθησιν μετὰ ἀφωνίας ἀποβάλλϐσι· τῶν ὀδόντων δὲ τοίνυν πηγνυμένων τρίζϐσι, ϗ ἐνίοτε αὐταῖς αἱ χεῖρες, ϗ (h) οἱ πόδες (i) φλεγμαίνϐσιν· ἐνίοτε εἰς τὸ ὄπισθεν κεῖται, ϗ τὰ ὑποχόνδρια (k) αὐταῖς οἰδίσκονται· καὶ αὐτὸς ὁ θώραξ

ραξ ἐπηρμένος γίνεται μέγας· αἱ φλέβες τοίνυν, αἱ ἐν τῷ μετώπῳ ἔτι ὀγκωδέςεραι ὁρῶνται· ἱδρὼς τοίνυν ψυχρὸς ἐπὶ τὸ πρόσωπον καὶ τὸν αὐχένα ἐπιςάζει· σφυγμὸς δὲ ὐδεὶς εὑρίσκεται, ἢ σφόδρα βραχύτατος· καὶ ἐνίοτε ταχύτερον εἰς ἑαυτὰς ἐπανέρχονται, καὶ ἐξανίςανται, καὶ ἅπερ ἔπαχον ἴσασιν, ἀλγῦσι τοίνυν τὴν κεφαλὴν καὶ τὸν αὐχένα, ἐνίοτε καὶ ἀνοηταίνυσι· αὕτη ἡ νόσος διὰ τὴν ἀφωνίαν ὁμοία ἐςὶ τῷ σεληνιασμῷ καὶ ἀποπληξίᾳ, ἅτινες τῷ (l) ὀλιοθήματι σιωπῶσι τῷ ληθαργικῷ, ἀλλὰ μὴν καὶ καταληπτικῷ· ἀφορίζονται δὲ ἀπ' αὐτῶν ἐξ αὐτῦ, διότι παρὰ τὰς σεληνιαζύσας, καὶ ἀποπληκτικάς, καὶ ἅτινες ὡς ἕλμινθας ἔχυσι, τῆς μήτρας ὐδὲ τις αἰτία συνδεδράμηκε· καὶ αὐτὴ ἡ μήτρα ἐν τῷ ἰδίῳ τόπῳ εὑρεθήσεται· παρ' ἐκείνας δὲ (m) τὸν ἴκτερον παχύτας καὶ (n) ἐν ζέσει ἡ μήτρα, καὶ ἡνίκα ἄνω ἀνέλθη, τηνίκα πίπτυσι, καὶ ἐξ αὐτῦ λέγονται συμπίπτυσαι· (o) καὶ εἰς (p) τὸ τέλος μετὰ τὸν σπασμὸν σιελὸν πλέον ἐκπέμπυσι, καὶ σφυγμὸν μείζονα ἔχυσι, καὶ ἡνίκα εἰς ἑαυτὰς ἐπανέλθωσιν (q) ἥπατος ὀδύνης αἰσθάνονται. Αἱ τοίνυν ἀποπληκτικαὶ, καὶ αὗται μείζονα σφυγμὸν ἔχυσι, (r) ταῦτα εἰ ἐκφεύξωσι, παραλυτικαὶ γίνονται· αἱ (s) ἰκτερικαὶ δὲ ἢ (t) μακρὸν, ἢ βραχὺν καὶ πυκνόν· αἱ δὲ ληθαργικαὶ καὶ καταληπτικαὶ ἀπὸ τῶν (u)

 ἀναληπ-

ἀναληπτικῶν χωρίζονται, ὅτι ἀεὶ μετὰ πυρετῶν εἰσίν· αἱ δὲ (v) ὑϛερικαὶ ἥποτε· ἐκεῖναι δὲ, αἵτινες ἕλμινθας ἔχωσι, καὶ ἐν τοῖς ἐντέροις νύξεων αἰσθάνονται, καὶ σφυγμὸν τῶν ἑλμίνθων ἔχωσι, καὶ τὴν μήτραν ὑγιεινήν· καὶ αὐτὴ (x) τοῖς ὁμοίοις νοσήμασιν ἡ διαχώρησις τῶν (y) ἰκτερικῶν. Ὁ πνιγμὸς δὲ ἐϛι πάθος, ὅπερ δι' ἐπιχέσεως συμβαίνει (z) καὶ ἐνίοτε χρονιάς. Διὰ τῶτο ὅτως καὶ τὰς θεραπείας διετυπώσαμεν, ἵνα ὁσάκις πρῶτον συμβαίνει, τοῖς παρηγορικοῖς (aa) δὲ θυνθείη, καὶ ἡνίκα ἀποϛῇ, καὶ τῷ συνεχεῖ ὑποτροπιασμῷ ἡ διάθεσις εἴη χρονία, διὰ τῶν μετασυγκριτικῶν θεραπευθήσεται· ὅτε τοίνυν ἡ γυνὴ πέσῃ εἰς ἀῤῥώϛημα, καθιδρυέσθω ἐν κοιτῶνι θερμῷ, καὶ λαμπρῷ ὅτως, ἵνα τὰς ϛρωμνὰς πρὸς τὴν κεφαλὴν ὑψηλοτέρας σχῇ, ὥσπερ ὀρθῶς καθεζομένη· ἀλλὰ (bb) τ αὐτῆς ὀρθῶν ὄντων τῶν χειρῶν καὶ τῶν ποδῶν· τῇ αὐτῇ μὲν ἀῤῥωϛίᾳ ϛραβῶται εἰώθασι, (cc) τον νῦν αὐτῆς συνεχέϛερον ἀλλοιῶται· ὅτως αὐτὴν ἐξανιϛάναι, ὡς ἐπὶ τοῖς μέσοις μέρεσιν (dd) ἐπὶ πάσας (ee) θερμασίας μεταγάγης· καὶ ταῖς χερσὶ θερμαῖς ὅλα τὰ ἄκρα κελεύσεις διακρατεῖν· ἔπειτα ἐρίῳ ἐν ὕδατι θερμῷ βεβαμμένῳ τὸ πρόσωπον αὐτῆς πυριάζειν. Εἰ δε ἐπιπολὺ ἡ ἀφωνία ἐκείνη ἐπιμένη, καλῶς ἐπωφελήσεις καὶ σικύων κέφων

ἐπὶ

ἐπὶ τῷ κτένι, καὶ τοῖς βουβῶσιν ἐπιτιθεμένων· ἐρίοις τοίνυν καθαροῖς (ff) ὅλα τὰ ἄκρα ἐσκεπασμένα· ἀνοίγοντες ὁσονοῦν τὸ στόμα αὐτῆς ὕδωρ θερμὸν ἐνστάζομεν· ἔπειτα καὶ μελίκρατον προσβαλεῖν, καὶ ἐν κρεμαστῷ κραββάτῳ αὐτὴν κατασείειν· ἡνίκα δὲ εἰς ἑαυτὴν ἐπανέλθῃ, εἰ οὐδεμία χαύνωσις αὐτῇ εἴη, ἤ, (gg) πρὸς ὀλίγον δίδοται τροφὴ, ἐμποδισθῇ, εὐθέως φλεβοτομεῖν, καὶ ἐγχυματισμοῖς ἐξ ἐλαίου, καὶ ἐγκαθίσμασι χυλῶν θεραπευτέα· καὶ ἐπαλειφομένη τῇ τρίτῃ ἡμέρᾳ, τροφὴν ἁπλὴν λαμβανέτω· καὶ ἕως οὗ (hh) ἐκκλίνῃ (ii) ἡ ἄλλη ἡμέρα τρεφέσθω τοῖς καθημερινοῖς, ὅμως καταπλάσμασι καὶ τῇ πυρίᾳ θεραπευθεῖσα σὺν τῇ ἐπιθέσει τῶν προειρημένων· γενομένης δὲ τῆς (kk) ἐγκλίσεως κηρωταῖς καὶ μαλάγμασιν ἁπλοῖς χρώμεθα· βαλανείῳ τοίνυν, καὶ ποικίλῃ τροφῇ, καὶ καλῷ οἴνῳ ἀναλαμβάνομεν. Εἰ δὲ συνεχέστερον συμβήσονται αἱ διαθέσεις, καὶ τὸ νόσημα χρόνιον εἴη τοῖς προειρημένοις μεθοδεύμασι χρώμεθα, βοηθήμασι, καὶ ἁρμοδίοις γυμνασίοις· τροφαῖς τοίνυν (ll) καὶ τὸν περίοδον τεταγμέναις, μετέπειτα δὲ τὰ μετασυγκριτικὰ προστιθέαμεν, ἅτινα συνίστανται ἐξ ἁλικοῦ δρώπακος, καὶ τῶν (mm) συγκριτικῶν σικύων, παροπτήσεως, ἀνατρίβῆς τῶν μερῶν, ἐπιπασμάτων δριμυτάτων, ἐγκαθισμάτων, καὶ σιναπισ-

μῶν· εἰ δὲ ταῦτα ἧττον ὠφελήσωσιν, ὑςάτως καὶ ἐλέβορον δώσομεν, κατατέμνοντες δηλαδὴ τῶν ῥιζῶν τὴν ἐπανάληψιν· ἔπειτα τοῖς πικροῖς χρῶ, ἀλλὰ μὴν καὶ ὕδασι θερμοῖς, ὥστινων πάντων τῶν προειρημένων ἡ χρῆσις ἁρμόζουσα ἐν τῷ ποιημματικῷ εἴδει τῆς μήτρας ἐςὶ διατετυπωμένη. Τῶν δὲ παλαιῶν ἰατρῶν τὴν πλάνην, οἵτινες πάντα τὰ δυσώδη εἴδη ταῖς ῥισὶν ἐπιτιθέασιν, ἀναιροῦμεν, τουτέςι τρίχας κεκαυμένας, καὶ ὄσφρησιν τῶν (nn) λίχνων· καςόριον τοίνυν, καὶ ῥητίνην ἐν ταῖς ῥισὶν ἐπέχριον, καὶ πάντων τῶν εἰδῶν ἐπέχριον τὰ κάκοδμα, (oo) καὶ ἄνω ἐκράτουν· καὶ πρὸς τὴν μήτραν (pp) ἔνδον τοὺς εὐόδμους πεσσοὺς σὺν νάρδῳ καὶ ςύρακι· (qq) οἵτινες διὰ τοῦτο τιθέασιν, ἵνα ἐκεῖνα τὰ κάκοδμα ἡ μήτρα φεύξῃ, καὶ πρὸς ταῦτα τὰ εὔοδμα κατέλθῃ· τινὲς δὲ ποικίλους ψόφους καὶ κυμβάλων καὶ τυμπάνων ἦχον παρεῖχον· τινὲς (rr) τὸ ἀκόλουθον (ss) πταρμικὸν (tt) ἔμπλησιν τὴν κεφαλὴν, καὶ ταῖς ῥισὶ δριμύτατον ὄξος ἐμβρέχοντες (vv) τὰ ἄκερααι, ἅπερ καταλιπεῖν τεθελήκαμεν τοῖς ματαίοις ῥήμασι, καὶ μηδὲν προκόπτουσι, βάρος τοίνυν καὶ τὴν ἀνάγνωσιν αὐτῶν ἐμοὶ ἔδοξεν· (xx) ἤπερ τὸ ἐξ αὐτῶν γράφειν.

ΚΕΦ'.

ΚΕΦΑ΄Λ. ΡΛ΄.

Περὶ τῆς τάσεως τῆς μήτρας.

Η῾ τῆς μήτρας τάσις συμβαίνειν (a) εἴωθε (b) οἴδημα ὑπὸ τον ὀμφαλὸν ὅσον δεποτȣ̃ν (c) σκληρῶδε, (d) ὀδύνης τοίνυν τῆς γαςρὸς ϗ τȣ̃ κόλπȣ· (e) συν αἰσθήσει δηλαδὴ τȣ̃ ἥπατος ϗ τȣ̃ ςομάχȣ· τὸ ȣ̃ρον ἐμποδίζεται, ϗ ἀγρυπνίαι ἐπακολȣθȣ̃σι, ϗ νύγματα συντρέχȣσι· συνεχέςερον δὲ δεχομένης τῆς καθάρσεως ταῦτα συνδραμεῖν (f) εἰώθασιν, ὅτε, (g) ϗ τὸν δάκτυλον ἡ μαῖα εἰσβάλλῃ εἰς τὸ ςομα, ἀνεωγμένον αὐτὸ εὑρίσκει· τὴν αὐτὴν δὲ θεραπείαν παρέχομεν, ἣν πρὸς τὴν ζέσιν τῆς μήτρας τεθείκαμεν.

ΚΕΦΑ΄Λ. ΡΛΑ΄.

Περὶ οἰδήματος τῆς μήτρας.

Τὸ τῆς μήτρας οἴδημα συμβαίνει ἀπὸ ψύξεως, ἢ ἐκτρώσεως, ἢ ἐκ δυςχερȣ̃ς τόκȣ, ἢ θρόμβȣ αἵματος, εἰς τὸ ςόμα (a) εναπομείνοντος. Ο᾽γκȣ̃ται ἡ μήτρα ȣ̃τως (b) ὡς ϗ τὴν γαςέρα οἰδίσκεσθαι· τὸ δὲ οἴδημα τῇ θλίψει τῶν δακτύλων ἀφίςαται, ϗ εὐθέως (c) ἑαυτὴν συςέλλει, ȣ̃τως ὡς εἴ τις τῇ χειρὶ αὐτὰ τὰ μέρη πατάξει, καθάπερ τύμπανον ἠχήσει· ϗ γὰρ ἐνίοτε μετὰ

νυγμά-

νυγμάτων, ϰ σφοδρᾶς ἐμπνευματώσεως ὧδε κἀκεῖσε διατρέχει· τισὶν αὐτὸ τὸ οἴδημα ἐπιμένει· ἐνίοτε ἐσθ' ὅτε ἑαυτὸ δεικνύει, ϰ ἐπαναίρεται (d) ἑαυτῷ τὸ οἴδημα· (e) θεραπείαν δὲ τούτου ταῦτα παρέχομεν, ἅπερ ἐν τῇ ἐπιχέσει, ϰ (f) ἐπιζέσει τῆς μήτρας συνεχέστερον ἐδιδάξαμεν. Ὅμως ὅτως ὅπως ἡ μαῖα ἐπιμελῶς τὸν θρόμβον (g) εὑρήσει, ϰ ἄνευ σκύλμου (h) παραλύσῃ· ἡνίκα δὲ χρονία εἴη ἡ διάθεσις, τοῦτο τὸ οἴδημα διὰ τῶν μετασυγκριτικῶν πραγμάτων, ὡς ἐν τῇ ἀποπνίξει τῆς μήτρας ἐθήκαμεν, χρώμεθα θεραπεύοντες· ἔπειτα ἐπίθεμα τὸ διὰ σύκων λεγόμενον, ἢ τὸ διὰ σπερμάτων, ἢ τὸ (i) πλύαρχιον, ἢ τὸ διὰ δαφνίδων ἐπιτίθεμεν· ἐγκαθισματίζομεν δὲ αὐτὰς ἐν ὕδατι, ἐν ᾧ ἀφέψομεν σαφυλῖνον, δαῦκον κρετικὸν, ϰ γλήχωνα· (k) ἀπαριδίως ϰ ἀρτεμισίαν ἐκεῖσε προσμίγνυμεν, ϰ πρασίου δέσμιδα, ὑσσώπου ϰ δάφνης· ταῦτα πάντα ὅτε ἑψηθῶσιν, ἐξ αὐτῶν ἐγκάθισμα ποιοῦμεν· πεσσοὺς τοίνυν ὁμοίως (ἐκ) τῶν προειρημένων πραγμάτων σκευάζομεν, δηλονότι οἵτινες δέχονται πήγανον, νίτρον, γλήχωνα, χολὴν ταυρείαν, ὅτως ὡς ταῦτα πάντα ἑνωθῶσι, ϰ ὅτως πεσσὸν ποιήσομεν. ἔςι δὲ ϰ ἄλλος πεσσὸς, ὅςις δέχεται ἰσχάδων ἐπιμελῶς λελειωμένων, ὅτως (l) ὥςε τὸ σπέρμα αὐτῶν μὴ φανείη γο α'. κυμίνου γο β'. ἀφρονίτρου γο α'. ὅλοι

δὲ

δὲ οἱ δριμύτατοι πεσσοὶ ὅτε εἰς τὸ ἐρίον ὦσιν ἐμβεβρεγμένοι, εἰς ἔλαιον ἢ γάλα ὀφείλȣσιν ἐμβάπτεσθαι, ϗ ὅτως (m) ἐπιτιθέσθαι· σικύας τοίνυν μετασυγκριτικὰς αὐτοῖς τοῖς μέρεσι καλῶς ἐπιτίθεμεν, ϗ ὧδε κἀκεῖσε ἕλκοντες βιαίως εἰσάγομεν· ὕδασι τοίνυν θερμοῖς χρᾶσθαι, ἐχάτως δὲ ϗ ἐν τοῖς (n) ψυχοῖς κατιέναι ἐπιτρέπομεν.

ΚΕΦΑ΄Λ. ΡΛΒ΄.

Περὶ φλεγμονῆς τῆς μήτρας.

Ἡνίκα ἡ μήτρα ἐν τῇ φλεγμονῇ ἐςι, ταῦτα τὰ σημεῖα συμβαίνȣσι· (a) σκληρία ὑπὸ τὸν ὀμφαλὸν σὺν τινὶ ἐμπνευματώσει, (b) ὅτως, ἡνίκα τῷ δακτύλῳ (c) θλίψεται, (d) ὑποςῇ, καὶ μετ᾽ ὀλίγον πάλιν ἑαυτὴν, (e) ἀνώσει· τὸ δὲ δέρμα τῆς γαςρὸς τὸ ἴδιον χρῶμα ὀκ ἔχει, καὶ τοῖς δακτύλοις προσενεχθεῖσιν ἐκδιώκεται· ἀλλὰ μὴν καὶ ἐν τȣ́τῳ τῷ πάθει παρέχομεν, ἅπερ εἰς τὸ οἴδημα τῆς μήτρας εἰσὶ τεθειμένα, καὶ μετὰ τὸν ἐγκολπισμὸν ἐλαίῳ ἁπλῷ, καὶ ἐκ τȣ̃ ἐλαίȣ τȣ̃ κυπρίνȣ, καὶ τȣ̃ ἰρίνȣ ἐγκολπίζομεν.

ΚΕΦΑΛ. ΡΛΓ'.

Περὶ σκληρίας τῆς μήτρας.

Παρερχομένης τῆς ζέσεως σκλήρωσις τῆς μήτρας ἀποτελεῖται· καὶ γὰρ ἐνίοτε (a) μέρος τι· σημεῖα δὲ ταῦτα ἔχει· ἔξωθεν τὶς σκλήρωσις μεγίστη· εὑρίσκεται δὲ οὕτως, ὡς ἡνίκα (b) τῶν δακτύλων (c) εἴη γυμνασίως (d) θλιβέντα, ὀδύνης τινὸς ἡ γυνὴ αἰσθάνεται· ὡς ὅτε αὐξήσει ἡ αὐτὴ σκλήρωσις (e) ἥτις ἤλιται, ὀδύνην πρὸς τοὺς νεφρούς, καὶ τὸν βουβῶνα, καὶ βάρος ἐπὶ τὸν κτένα αἰσθανθήσεται. Εἰ δὲ ἐπὶ τῷ τραχήλῳ τῆς μήτρας εἴη σκλήρωσις (f) ἔξωθεν εἰς τὸ σομα τῆς μήτρας (g) ἐκεῖ σκλήρωσις, καὶ ἀνεωγμένον σόμα εὑρίσκεται, οὕτως ὡς τοῖς νύγμασι, καὶ ταῖς ὀδύναις τὴν χρῆσιν τοῦ ἀνδρὸς ἡ γυνὴ μὴ ὑποστῇ (h)· καὶ γὰρ θερμότης ὁρᾶται, καὶ ἡ θερμασία ἐκείνη οὐδ᾽ ὅλως αἰσθανθήσεται, οὔτε τοῦ σώματος αἴσθησιν ἔχῃ· θεραπείαν δὲ ταύτην ἔχει, ἥτις ἐν τῇ ἐπισχέσει τῆς μήτρας τεθειμένη ἐστι, ταύτην ποιήσομεν.

ΚΕΦΑΛ. ΡΛΔ'.

Περὶ ὀδύνης τῆς μήτρας;

Η ὀδυνη δὲ τῆς μήτρας μετὰ τὸν τόκον ταῦτα τὰ σημεῖα ἔχει· ἡνίκα ἑαυτὴν ἡ μήτρα εἰς τὸν ςόμαχον πιέσει, σφόδρα γίνεται ὀδυνη, καὶ τὸ (a) ςόμα (b) λυπεῖται. ἐσθ' ὅτε τοίνυν καὶ ἀποπνεύσει· ὥσπερ ἐν τῷ κωματώδει νοσήματι δοκεῖ εἶναι. Διαφέρει δε ὅμως (c) ἐν τῇ ξυμφορᾷ ἐξ αὐτοῦ, ὅτι οὔτε (c) οἱ ὀφθαλμοὶ ςρέφονται, οὔτε ἀφρὸς ἀποῤῥέει, οὔτε τὰ νεῦρα ἀφέλκονται· ὅμως κάρωσις ἐν αὐταῖς εἶναι δοκεῖ· ἐφ' αἷς δε ὁμοίως πυκνῶς (d) ςροφούμεναι, διηνεκὲς ἔνθα πίπτουσιν· ἐὰν (οὖν) ἐκτὸς αἱμωαμίας ἐςὶν ἡ ὀδυνη, αἷμα ἀφαιρεθὲν ὠφελεῖ· εἰ δὲ (e) βραχύς ἐστι, σικυδία προσπεπηγμένα ὦσιν ἐν τοῖς βουβῶσιν· εἰ δὲ ἐπὶ πολὺ κεῖται, ἢ (f) κεῖσθαι εἴωθεν, ἐπιτιθέναι δεῖ ταῖς ῥισὶν αὐτῆς κεκαυμένον ἔριον βεβαμμένον καὶ ῥυπῶδες, ἢ ἄλλο ὅπερ δοκεῖται δυσώδης ὀσφρήσεως εἶναι· καὶ τὴν αὐτὴν ὕδωρ ψυχρὸν περίχεθεν ὠφελεῖ· ἢ πήγανον λελεωμένον σὺν μέλιτι, ἢ κυπρίνῳ ἐλαίῳ, ἢ (g) οἱονδήποτ' ἄλλο θερμὸν κατάπλασμα τῶν (h) φυσικῶν γλήχωνος ἐπιτιθέναι, μεταξὺ τούτων ἀνατρίβειν τὰς κοτύλας, καὶ τὸ σῶμα αὐτῆς· ἔπειτα ἡνίκα πρὸς ἑαυτὴν ἐπανέλθῃ, πε-

ῥιγέεις οἶνον ὅλῳ τῷ σώματι, ἢ τοίνυν ἡ πόσις αὐτὴ, οὐκ ἀφ' (i) ἣν ἔθιμον τοῦ σώματος· ἀλλὰ μὴν καὶ σιναπισμὸν ἐπὶ την γαστέρα ἐπιθήσεις· τῇ δὲ τρίτῃ ἡμέρᾳ, ἢ τῇ τετάρτῃ ἐπιθετέον, ἕως ἂν καὶ τὸ σῶμα ἐρυθρὸν εἴη, ἐὰν ἡ σκλήρωσις ἐπιμένῃ· μαλάττειν μετρίως δοκεῖ σέλινον ἐν γάλακτι λελυμένον, ἔπειτα λελειωμένον, καὶ πρότερον ἐν τῷ αὐτῷ γάλακτι ἀφεψημένον σὺν κηρῷ λευκῷ, καὶ μυελῷ ἐλαφείῳ, σὺν ἰρίνῳ ἐλαίῳ, ἢ ἀξυγγείῳ ταυρείῳ σὺν ῥόδῳ μεμιγμένον. Δοτέα τοίνυν ἡ πόσις καστορίου, ἢ (k) κυπέρεως τοσοῦτον· εἰ δὲ ἡ μήτρα (l ἐξελκωθῇ, κηρωτὴ ἐκ τῶν ῥόδων (m) γένηται καὶ ἀξυγγείου ὑὸς προσφάτου, καὶ ᾠοῦ λευκὸν μιγνύσθω, καὶ οὕτως ἐπιτιθέσθω· ἢ τὸ λευκὸν τῶν ᾠῶν σὺν ῥοδίνῳ μεμιγμένον, ἐπιβάλλων ξηρίον ἐκ ῥόδων μεμιγμένον· ἢ ὑποκάπνισμα τῆς μήτρας γινέσθω ἐκ θείου ἀπύρου, (o) ὠφέλει ἄρον τὴν ὀδύνην· ἢ ἐὰν ἡ κάθαρσις τῆς γυναικὸς (n) βλάπτει, κολοκύνθης ξηρᾶς ὠφελεῖ κεκαυμένης τὸ ξηρίον ἐν τοῖς βουβῶσιν, ἢ ὑπὸ τοῖς μασθοῖς ἐπιτεθὲν (o) ὠφελεῖ (p)· εἰ δὲ ἡ κάθαρσις ὀλίγη, προσφερέσθωσαν τὰ φάρμακα τὰ προτρέποντα τὸ αἷμα (q) κοστὸν, γλήχων (r), ἵνα λευκὰ (s) ἐπεπλίον, καλαμίνθη, (t) θύμβρον, καὶ ὕσσωπον· τροφὰς δὲ ἐπιτηδείας λαμβανέτω πράσον, πήγανον, κύμινον, κρόμμυα (v), νάπην καὶ πᾶν δριμὺ λά-

χα-

χανον· εἰ δὲ τὸ αἷμα ἐκ τῶν ἐνδοτέρων μερῶν ἐκραγῆναι εἴωθεν (x) ἢ ἐκ τῶν ῥινῶν ἐκραγῇ, κεκαυμένην (y) κολοκώθην τοῖς β-βῶσιν ἐπιθετέον ἐπὶ τρεῖς ἢ τέσσαρας μῆνας. Τριάκοντα δὲ ἡμερῶν παρελθουσῶν, τηνικαυτα εἰδείης τὸ πάθος ὑγιάναι. Εἰ δὲ ἐχ ἑαυτὸ τὸ αἷμα ἐνδείξηται (z), ἴδῃς αὐτᾶς ὀδύνην τῆς κεφαλῆς· ἐξανίςασθαι, τηνικαῦτα ἐκ τῶν βραχιόνων αἷμα ἀφαιρετέον, καὶ ἔτως αὐτὴν εὐθὺς θεραπεύσεις.

ΚΕΦΑ´Λ. ΡΛΕ´.

(a) Περὶ μύλε τῆς μήτρας.

(b) Ἡ νόσος ἡ προσαγορευομένη μύλος (c) σκήρωσις τῆς μήτρας ἐςὶν ἐκ τῆς παρελθέσης ζέσεως, δι (d) ἧς ὅλη ἡ γαςὴρ ἐκτεταμένη ἐςὶν ἔτως, ὥςε ἐγκυμονεσαν δοκεῖν εἶναι· ἐνίοτε μὲν καὶ (e) τὶ ἐν τῇ μήτρᾳ γεννηθὲν (f), πλέον ἡ σὰρξ (g) ἐπαύξῃ· ὅθεν (h) ἡ μαῖα εἰσβάλλεσα τὸν δάκτυλον ἐν τῷ ςόματι, ἢ ἐν τῷ (i) σκηρώματι τἔτο αὐτὸ εὑρίσκεται· ἐνίοτε δὲ πᾶσα ἡ μήτρα (k) τοιἔτο νόσημα πάχει, ὡς ἡ γαςὴρ πᾶσα (l) σὺν σκληρώσει λίθε ἐπαυξήσῃ, καὶ τὸ λοιπὸν σῶμα σὺν κακῷ χρώματι, καὶ ἀνορεξίᾳ (m) κατέχεται· εἴρηται δὲ μῦλος παρὰ τὸ βάρος, καὶ διότι βραδέως κινεῖται· ἀφορίζομεν δὲ τὴν ἔχεσαν μῦλον ἀπὸ τῆς ἐγκυ-

μο-

μονούσης γυναικὸς, εἰ μὲν ἐν τῇ ἀρχῇ τῶν ἀμφοτέρων, καὶ τὰ ἔμμηνα οὐ συνδράμωσι, καὶ τοὺς μαστοὺς πεφυσημένους ἔχωσι, καὶ ἀνορεξίαν πάσχωσι, καὶ βάρος ἐν τοῖς νεφροῖς αὐτῶν (n) αἰσθάνωνται, καὶ ἡ γαστὴρ καθ' ἡμέραν αὐξήσῃ (o), δῆλον ἐκείνης τῆς ἐχούσης τὸν μύλον ἐκ (p) τούτου, ὅτι καθ' ἡμέραν νύγματα, καὶ ὀδύνας αἰσθάνεται, καὶ περιεργομένου τοῦ χρόνου αὐτὴν τὴν κίνησιν τοῦ ἐμβρύου οὐκ ἔχει, ἣν περ αἱ ἐγκυμονοῦσαι γυναῖκες ἀπὸ τοῦ τετάρτου μηνὸς αἰσθάνεσθαι ἄρχονται· παρεληλυθότος δὲ τοῦ δεκάτου μηνὸς τὸ πᾶν σῶμα αὐτῶν τῇ (q) τήξει καταναλίσκεται, καὶ ἡ γαστὴρ καὶ τὰ μέσα τῶν μηρῶν καθόλου αὐξάνουσιν, ὡς ὑδρωπικὸν τὸ νόσημα τῆς γυναικὸς δοκεῖν εἶναι· ἀλλ' ἂν καὶ αὐτὴ ὑδρωπικὴ, (νόσος) διαχωρίζεται ἀπ' ἐκείνης τῆς τὸν μῦλον ἐχούσης, ὅτι ἡ γαστὴρ πατασσομένη ἦχον ἀποδώσει, καὶ τοῖς δακτύλοις θλιβομένη εἰς ὅσον δήποτε ἀφίσταται· τοῦτο δὲ τὸ νόσημα οἱ πλεῖστοι ἀνίατον εἶναι εἰρήκασι, τινὲς δὲ παραυτίκα ἀρχόμενον δύνασθαι ἰαθῆναι· ἡμεῖς δὲ καθάπερ τὸ χρόνιον νόσημα, οὕτως καὶ τὸν μῦλον θεραπεύομεν, ὥσπερ προχειριζόμενοι τῶν παρηγορικῶν, σὺν πυρίᾳ καὶ καταπλάσμασι, καὶ καταχύσει, πυρίαις τε καὶ ἐγχυματισμοῖς, καὶ πεσσοῖς μαλακτικοῖς τοῖς ἁπλοῖς, ὡς τῷ διαχύλων, ἢ τῷ μυκτέου· ἔπειτα εἰς τὰ μετασυγκριτικὰ ἡμᾶς ἀναστρέφομεν· πρῶτον

τον

τον τῇ ἀναληπτικῇ περίοδῳ ἀναλαμβάνοντες, ἔπειτα τὰ μετασυγκριτικὰ προσβάλλομεν, καθάπερ (εἰσὶν), οἱ δρώπακες, καὶ αἱ (r) προθήσεις τῶν ἐπιπασμάτων, ἀνατριβὴ τοιγαροῦν ἰσχυρὰ, σιναπισμὸς καὶ μαλάγματα, τουτέστι τὸ διὰ σπέρματος, καὶ τὸ πολυάρχιον, καὶ τὸ διὰ δαφνίδων, καὶ τῶν ἀφύσων πυρίαι, ἐγκαθίσματα ἔτι μετασυγκριτικά (s)· τούτοις καλῶς χρώμεθα τουτέστιν ὕδωρ ἐν ᾧ εἰσὶν ἀφεψημένα δαφνίδων δέσμα, ὕσσωπον, ἡδύοσμον, πράσιον· πεσσοὶ δὲ δεχόμενοι βούτυρον, χῦλον ὑσσώπου, στέαρ χήνειον, μυελὸ ἐλάφου, ἢ τὸν ἐγκέφαλον αὐτοῦ· μέλι τούτῳ καὶ ἰσχάδας λελειωμένας μάλα λεπτῶς. ἔλαιον παλαιόν· οὕτως εἰς ὕδωρ θερμὸν βάλλομεν, καὶ νήχεσθαι κελεύομεν· ἢ ἐξ αὐτοῦ τοῦ ὕδατος ἐγκαθίσματα ποιοῦμεν· χρονίζοντος δὲ τοῦ νοσήματος καὶ ἐλέβορον δώσομεν· ἀλλὰ μὴν καὶ θυμιάματα ὑποκαπνίσομεν. ἀτὰρ οἱ ἀρχαῖοι ὑπεκάπνιζον ἐσκευασμένα ἐκ κρόκου καὶ στύρακος, καὶ σμύρνης καὶ ῥητίνης καὶ ἀρτεμισίας (t)· εἰς αἳ (v) ἀφέτιαται (x) γλήχω καὶ ἔλαιον, καὶ πρὸς τὴν πυρίαν (y) αὐτῶν αὐτὰς (z) καθιδρύομεν, καὶ ἐν ὕδατι (aa) ἀφεψῆμεν κάρδαμον· ταῦτα πάντα δεδοκιμάκαμεν, ἐπειδὴ πλείστας ὠφελεῖν δύνανται.

ΚΕΦ'.

ΚΕΦΑΛ. ΡΛϛ'.

Περὶ αἱμοῤῥαγίας τῆς μήτρας.

Η τῆς μήτρας αἱμοῤῥαγία συμβαίνει ἐκ δυσχερεστάτου τόκου, ἢ ἐκτρώσεως, ἢ ἐξελκώσεως (a) ἢ ὁπωσοῦν (b) τῇ (c) ῥίζῃ τῶν φλεβῶν πλέον αἷμα ἐπὶ τοὺς γυναικείους κόλπους ἐκχέεται· παρέπεται δὲ (d) τῷ κάμνοντι χαύνωσις τοῦ σώματος, ἰσχνότης, ὠχρὸν τὸ σῶμα, ἀνορεξία· ἔστι δὲ κινδυνῶδες τὸ νόσημα, εἰ μέντοι ἡνίκα μετὰ μεγάλης δυσχερείας ἐπέχεται, καὶ ξηραίνεται, ὅμως ἐνίοτε τὸ αἷμα διαῤῥεῖ· πᾶσαι δὲ αὐταὶ, ἡνίκα θεραπευθῆναι ἄρξονται ὀφείλουσι κεῖσθαι ἐν (e) κοιτῶνι, σμικρῷ (f) καὶ σκοτεινῷ, καὶ ἐν τῇ κλίνῃ δηλαδὴ (g) τοῦ ἀῤῥώστου τὰ τελευταῖα τῶν ποδῶν ὑψηλότερα ἔχειν σὺν πάσῃ ἡσυχίᾳ τοῦ σώματος καὶ ἀναπαύσει, (h) πᾶσα γὰρ κίνησις ῥεῦσιν προτρέπει, οὕτως, ἵνα τοὺς πόδας ἐστραμμένους σχῇ, καὶ οὕτως κείσθω· μετὰ σπόγγων τοίνυν μεγάλων (i) καὶ ἐν ὕδατι ψυχρῷ βεβρεγμένων, ἢ ἐν ὀξυκράτῳ (k) αὐτὰ τὰ μέρη ἐμβρέχεσθαι (l) τουτέστιν ἡ κύστις, καὶ οἱ νεφροὶ, καὶ ὁ βουβὼν, οὕτως, ὡς συνεχέστερον ἐναλλαχθήτωσαν, ἵνα μὴ τὸ σῶμα θερίνης ὥρας οὔσης θερμανθῇ· (m) ἀλλὰ πάντα ἐν ἐπιχύσει διακρατηθήτω, καὶ μετὰ φασκίων δεσμευθήτω· πάντα (n) ἢ ἐν ὕδατι ψυχρῷ ὑποβάλλειν, τὸ πρόσω-

που τοίνυν ἐκ προσφάτȣ ὕδατος (o) καταντληθῇ, και πᾶν τὸ σῶμα αὐτῆς (p) ῥιπίζειν μετὰ ῥιπίδιων· ἀλλὰ και τὴν κεφαλὴν αὐτῆς ἐλαίῳ ψυχρῷ καὶ σπανικῷ ἐπαλείφομεν, καὶ ἐκ διαςήματος ὄξȣς ῥοφεῖν δίδομεν· καὶ ἐγκαθισμὸς τοίνυν συν οξυκράτῳ ψυχρῷ ποιȣμεν, ἢ σὺν ὕδατι ἐν ῷ εἰσὶν ἀφεψημένα (q) μύρτη, χῖνος, (r) ἀγριοσυκομορέα, λέπος ῥοῶν και κρομμύων, καὶ ἄσφαλτον, ἡνίκα ταῦτα ζεσθῶσι, καὶ καταψυχρανθῶσιν, (s) ȣτως ἐκεῖσε ἡ γυνὴ ἐγκαθίσει· εἰ δὲ (t) ἐθέλεις διὰ τὴν τȣ σώματος κίνησιν, ἥτις τῇ διαῤῥοίᾳ ἐναντία ἐςὶ, τοῖς ἐγκαθίσμασι χρῆσθαι (u) δυνηθῇ (x) αὐτὸ τὸ ὕδωρ εἰσπέμπειν, ἢ χυλὸν ἀρνογλώσσȣ, ἢ βάτȣ, ἢ ἐντύβων, ἢ (y) ςαφυλῆς ὄμφακος, ἢ ψυλλίȣ τῆς πόας εἰς πεσσὸν ἐπιτιθέναι· (z) ἐπιμενέσης δὲ τῆς νόσȣ ὑποκυςίδα καὶ ἀκακίαν, καὶ σέλινον σὺν ὄξει λυθέντα, καὶ ἐπιμελῶς λειωθέντα δυνήσῃ ἐν ἐρίῳ ὥσπερ πεσσὸν ἐπιθεῖναι· ἐφ' οἷς πράγμασιν ἐξ ὄμφακος ὁσονȣν προσθήσεις, και ἔριον μαλακὸν ἐν ὄξει ἐμβεβαμμένον καλῶς τῷ ςόματι τῆς μήτρας ἐπιτιθέναι (aa) ὅπως ῥεόν τὸ αἷμα δέξηται, μήπως πηγνύμενον ἐκεῖ ταῦτα τὰ μέρη κατακαύσῃ· συνεχέςερον δὲ τὸ ἔριον αὐτὸ ἀλλακτέον· σικύαι δὲ ςαλτικαὶ σὺν πολλῷ πυρὶ αὐτοῖς τοῖς μέρεσιν ἔξω ἐπιτεθῶσαν, ȣτως ὡς ἐκεῖ (bb) ἐναπομείνωσι, ἀρθῶσιν· ἐπίθεμα

θεμα τοίνυν ὅπερ διὰ φοινίκων συνίςαται, καὶ μήλων κυδωνίων ἐπιμιχθέντων, καὶ ςυπτηρίας χιςῆς, κηκίδος καὶ ἀλοης, ὑποκυςίδος καὶ ἀκακίας, καὶ ὀμφακίυ, καὶ πάντα σὺν ἐλαίῳ καὶ κηρωτῇ ἑνωθῶσιν· ἢ ἐκ τῶν (cc) βοτάνων τὰ ἐπιθέματα ταῦτα, αἱ ἐξ ἀνδράχνης μελαίνης, ἢ ψυλλίυ βοτάνης, καὶ ςαφυλῆς ὄμφακος, καὶ ἀρνογλώσσυ, καὶ ἐντύβυ (dd) λειωθέντα (ee) καὶ ὄξει ἀναμιγέντα, ἢ καὶ μετὰ φοινίκων ἐν ὄξει ἀφεψημένων (ff)· χρώμεθα δὲ καὶ (gg) γυμναςικῶν πεσσῶν ὧν ἔχει κηκίδα καὶ μαννα λιβάνυ, καὶ χαλκίτιν, καὶ γῆν ἄςερα, ὡς χυλῷ τίνι τῶν προειρημένων βοτάνων τὰ ξηρία ἀναμιχθῶσιν, ἢ (hh) εἰς σπυδίαν σπόγγυ κεκαυμένυ, ὃς ταύτῃ τῇ παραδόσει κατακαίεται· σπόγγον καινὸν πίσσῃ ὑγρᾷ (ii) καθυγραινόμενον ἐν (kk) χύτρῳ καινῷ βάλεις, καὶ εάσεις ἕως ἂν κατακαῇ, ὡς (ll) ξυρίον δύνασθαι γενέσθαι, καὶ κοχλιάριον πλῆρες εἰς τὸν προειρημένον χυλὸν ἐπιμίξεις, ἢ σὺν τῷ λευκῷ τῦ ὠῦ λειώσεις· ἀλλὰ ἐὰν ἴσως τῇ συνεχείᾳ τῦ αἵματος καῦσις ἐκεῖ φανείῃ, ἢ ἕλκωσις εἴη γεγενημένη (mm) σφόδρα φοβεῖσθαι ὀφείλομεν, καὶ ἐκ τῶν τροχίσκων τῶν δυσεντερικῶν θεραπεύομεν· καὶ εἴ τὶς (nn) ἀρτίως κινδυνεύει, κατ᾽ ὀλίγον θεραπεύεσθαι ἀεὶ ὀφείλει, ὅπως διαφύγοι (oo) τῇ τῦ πάθυς ἐκείνυ· (pp) ἢ τροφὰς ςαλτικὰς τυτέςιν (qq) ὀρίγανον, φακὴν (rr) γύριν σὺν ὄξει

ἀφεψη-

ἀφεψημένην, καὶ ἐλαίῳ σπανῷ ἠρτυμένην· δώσομεν τοίνυν καὶ ἐντύβα, καὶ (s) τρίδακας καυλὸν, καὶ ὠὰ (t) ξηρά· ἐκ δὲ τῶν πτηνῶν ἢ περιςεράν, ἢ πέρδικα, ἢ (u) γερανόν· σὺν ὀξυκράτω, καὶ (x) καρπὸν μύρτης, σὺν ἐλαίῳ σπανῷ ἢ ψηθῶσι· καὶ ἐχύτως οἶνον δίδομεν, καὶ εἰς ὁλόκληρον ὑγείαν καταντήσασαν βραδύτερον δοθῆναι (y).

ΚΕΦΑΛ. ΡΛΖ'.

Περὶ ῥεύσεως αἵματος τῆς γυναικός.

Αὐτὴ ἡ νόσος τῆς γυναικὸς τῇ τῶν χυμῶν πλεονεξίᾳ συμβαίνει· ἐκ πολλῦ (a) ἤπερ ἐκ τῆς μήτρας ἐκχέεται ὅτως (b) τε ἑκατέρων, ὡς ποικίλῳ χρώματι (c) ἤ, καὶ αὐτὴ ἡ γυνὴ ἡ πάσχουσα ἐκ τῦ τῆς μήτρας σώματος κακὸν χρῶμα ἔχει, καὶ ἀνορεξίαν (d) ποιεῖ· καὶ ἡνίκα περιπατεῖν ἄρξηται, ὀγκῦται, καὶ οἴδημα τῶν ποδῶν χῇ. Διορίζεται δὲ ἡ νῦσος αὐτὴ ἐκ τῦτων τῶν σημείων, ὅτι ὀδύνη συμβαίνει, (e) καὶ δεύτε ον ἔχυσι· καὶ ἐκεῖναι, (f) αἵτινες σὺν ὀδύνῃ, ἐνίοτε καὶ ἕλκος ἔχυσι· τὸ δὲ ἕλκος βλάπτει (g) σὺν δὲ τῇ ζέσει ἐςὶ ῥυπαρὸν, ἐνίοτε καθαρόν· ἐκείνη τοίνυν ἡ διάῤῥοια, ἥτις ἄνευ ἕλκυς, καὶ ὀδύνης ἐςὶν, ὅπως μόνος ὁ χυμὸς (h) φέρεται, διὰ τῶν προειρημένων ἁπάντων βοηθημάτων θε-

ραπευθῆναι δυνηθῇ, ἅπερ ἐν τῇ ἐξαιματώσει τῆς μήτρας τεθείκαμεν· εἰ θελήσει, τις τοίνυν ἁπλᾶς δῆναι πόσεις, ἢ κωλύομεν, ὥς ἐςιν ἡ πίτυα τȣ̃ λαγωȣ̃, ἢ μόσχȣ, ἢ ἄρνȣ, ἢ ἐλάφȣ, ἐὰν εὑρεθῇ· ἢ ἐκ ῥοῶν οἶνον, καὶ λεπία ῥοῶν, ἢ φλȣ̃ν ςροβίλων· ταῦτα πάντα κεκομμένα, καὶ λελειωμένα, και ἐκ τȣ́τȣ τȣ̃ ξηρίȣ διδόναι ποτὸν ζζ δύο· ἄμεινον δὲ εἰ φοίνικες, καὶ (i) μῆλα κυδώνια ἀφεψηθῶσι, καὶ ἐν αὐτῷ τῷ ὕδατι τὸ ξηρίον (k) βάλλῃς, καὶ ȣ̃τως πίνειν παραδόιης. Ὁ'τάκις δὲ σὺν ὀδύνῃ εἴη ἡ διάῤῥοια, ἐγκολπιτέα ἐςὶ (l) χυλὸς ἰτέας, ἢ πτισσάνης, καὶ πάντων τῶν θερμαινόντων καὶ χαλώντων· χρηςέον ἐςὶ καταπλάσματι (m) θερμοῖς, καὶ καλαῖς τροφαῖς· ἐκ τȣ́των γὰρ τῶν πραγμάτων καὶ ἐν τῇ ζέσει τὸ γεννηθὲν ἕλκος θεραπεύεται· εἰ δὲ ῥερυπωμένον εἴῃ, ὅπερ δοκιμάζεται ἡνίκα ἐκκριθῇ τρυγώδης χυμὸς, ἢ καθαρὸς, ἐκείνοις χρώμεθα τοῖς εἴδεσιν, οἷ. (n. δυσεντερία (πρὸς) καθαρὰ ἢ ῥυπαρὰ ἕλκη· πρῶτον μὲν ἡνίκα ἀρχώμεθα περὶ ἑλκῶν τῶν ἐν τῇ μήτρᾳ γενομένων ἀναγινώσκειν, ἐκεῖ πλήρη τὴν θεραπείαν εὑρήσεις· ἡνίκα δὲ χρονίη (o) ἡ διάθεσις, περιοδικὴν ἐπιμέλειαν παρέχομεν, ἵνα τὰς δυνάμεις ἡ γυνὴ ἀναλαβεῖν δυνηθῇ· και τὸν πρότερον χυλὸν τȣ̃ σώματος ἀναλαμβάνειν, καὶ ἐκ πάντων τῶν μετασυγκριτικῶν τὴν

ὁλε-

ὀλεθρίαν διάῤῥοιαν ἐκδιῶξαι, καὶ εὐρωςίαν ἀνακτήσασθαι.

ΚΕΦΑ'Λ. ΡΛΗ'.

Περὶ διαῤῥοίας σπέρματος τῶν γυναικῶν, ἣν οἱ Ἕλληνες γονοῤῥοίαν καλοῦσι.

